UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

De placitis philosophorum

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

Ξέρξεω μὲν γὰρ αὐτοῦ παρεόντος ὑπὸ μαστίγων μόλις ὄπισθεν ὠθούμενοι προσεφέροντο τοῖς Ἕλλησιν· ἐν δὲ Πλαταιαῖς, ὡς ἔοικεν, ἑτέρας ψυχὰς μεταλαβόντες, λήματι μὲν καὶ ῥώμῃ οὐχ ἥσσονες ἦσαν· ἡ δὲ ἐσθὴς ἔρημος οὖσα ὅπλων ἐδηλήσατο σφέας. πρὸς γὰρ ὁπλίτας ἐόντες γυμνῆτες ἀγῶνα ἐποιέοντο. τί οὖν περίεστιν ἔνδοξον ἢ μέγα τοῖς Ἕλλησιν ἀπ' ἐκείνων τῶν ἀγώνων, εἰ Λακεδαιμόνιοι μὲν ἀόπλοις ἐμάχοντο, τοὺς δὲ ἄλλους ἡ μάχη παρόντας ἔλαθε, κενὰ δὲ πολυάνδρια τιμᾶται τοῖς ἑκάστου, ψευδῶν δὲ γραμμάτων μεστοὶ τρίποδες ἑστᾶσι καὶ βωμοὶ παρὰ τοῖς θεοῖς, μόνος δὲ τἀληθὲς Ἡρόδοτος ἔγνω. τοὺς δὲ ἄλλους ἅπαντας ἀνθρώπους ὅσοι λόγον Ἑλλήνων ἔχουσιν, ἐξηπάτηκεν ἡ φήμη τῶν τότε κατορθωμάτων, ὡς ὑπερφυῶν γενομένων; τί δῆτα; γραφικὸς ἀνήρ, καὶ ἡδὺς ὁ λόγος, καὶ χάρις ἔπεστι καὶ δεινότης καὶ ὥρα τοῖς διηγήμασι· μῦθον δ' ὥς ὅτ' ἀοιδὸς ἐπισταμένως μὲν οὔ, λιγυρῶς δὲ καὶ γλαφυρῶς ἠγόρευκεν, ἀμέλει ταῦτα καὶ κηλεῖ καὶ προσάγεται πάντας. ἀλλ' ὥσπερ ἐν ῥόδοις δεῖ κανθαρίδα φυλάττεσθαι τὴν βλασφημίαν αὐτοῦ, καὶ μικρολογίαν λείοις καὶ ἁπαλοῖς σχήμασιν ὑποδεδυκυῖαν, ἵνα μὴ λάθωμεν ἀτόπους καὶ ψευδεῖς περὶ τῶν ἀρίστων καὶ μεγίστων τῆς Ἑλλάδος πόλεων καὶ ἀνδρῶν δόξας λαβόντες.

A Nimirum Xerxe ipso præsente ægre à tergo flagellis impulsi cum Græcis congressi sunt barbari: ad Platæas aliis animis sumtis, audacia quidem (inquit Herodotus) & robore inferiores non erant: sed vestis armorum expers ipsis nocuit, cum nudi aduersus grauis armaturæ hostem pugnarent. Quid ergo relinquitur magnum aut memorabile Græcis ex istis certaminibus? quando Lacedæmonii cum inermibus pugnauerunt, reliquos præsentes prœlium fefellit, inania polyandria vbique coluntur, mendacium inscriptionum pleni tripodes, plenæ aræ stant coram diis: denique solus Herodotus veritatem habet cognitam: B reliquos omnes homines, quicunq; aliquam Græcorum rationem habent, decepit fama istorum facinorum, vt præclaras & admirandas res gestas putarent. Quid ni? Homo est scribendi gnarus, oratio iucunda, venustate & vi quadam prædita, & narrationibus inest elegantia, ac

*Sermonem, veluti cantor*

non quidem scite, sed tamen suauiter proposuit. Verum sicut in rosa cantharides, ita hæc cauendæ sunt calumniæ eius & inuidentia, sub læuibus & teneris latentes figuris verborum: ne per imprudentiam absurdas & falsas de præstantissimis atque maximis Græciæ vrbibus & viris opiniones conci- C piamus.

# ΠΛΟΥΤΑΡΧΟΥ, ΠΕΡΙ ΤΩΝ ἀρεσκόντων τοῖς φιλοσόφοις βιβλία ε.

# PLVTARCHI DE PLACITIS philosophorum, hoc est, breuis recensionis sententiarum de rebus naturalibus. LIBRI V.

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Μέλλοντες τὸν φυσικὸν παραδώσειν λόγον, ἀναγκαῖον ἡγούμεθα εὐθὺς ἐν ἀρχαῖς διελέσθαι τὴν τῆς φιλοσοφίας πραγματείαν, ἵν' εἰδῶμεν τί ἐστι, καὶ πόσον μέρος αὐτῆς ἡ φυσικὴ διέξοδος. οἱ μὲν οὖν Στωϊκοὶ ἔφασαν, τὴν μὲν σοφίαν, εἶναι θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην· τὴν δὲ φιλοσοφίαν, ἄσκησιν τέχνης ἐπιτηδείου. ἐπιτήδειον δ' εἶναι μίαν καὶ ἀνωτάτω, τὴν ἀρετήν. ἀρετὰς δὲ τὰς γενικωτάτας τρεῖς, φυσικήν, ἠθικήν, λογικήν. δι' ἣν αἰτίαν καὶ τριμερής ἐστιν ἡ φιλοσοφία, ἧς τὸ μὲν φυσικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ λογικόν. καὶ φυσικὸν μέν, ὅταν περὶ κόσμου ζητῶμεν, καὶ τῶν ἐν κόσμῳ· ἠθικὸν δέ, τὸ κατησχολημένον περὶ τὸν ἀνθρώπινον βίον· λογικὸν δέ, τὸ περὶ τὸν λόγον, ὃ καὶ διαλεκτικὸν καλοῦσιν. Ἀριστοτέλης δὲ καὶ Θεόφραστος, καὶ σχεδὸν πάντες οἱ περιπατητικοὶ διεῖλον τὴν φιλοσοφίαν οὕτως· ἀναγκαῖον τὸν τέλειον ἄνδρα καὶ θεωρητικὸν εἶναι τῶν ὄντων, καὶ πρακτικὸν τῶν δεόντων. τοῦτο δὲ ἔξεστι καὶ ἐκ τούτων συνιδεῖν. οἷον, ζητεῖται εἰ ζῷον ἢ μὴ ζῷον ὁ ἥλιος, εἴπερ ὁρᾶται. ὁ τοῦτο δὲ ζητῶν, θεωρητικός ἐστιν. οὐδὲ γάρ τι πλέον θεωρεῖται ἢ ὃ ὂν ζητεῖται. ὁμοίως εἰ ἄπειρος ὁ κόσμος ἐστί, καὶ εἰ ἔξω τι τοῦ κόσμου ἐστί. F

## LIBER I.

D Cvm instituerimus naturæ cognitionis rationes explicare, ipsam rem hoc flagitare censuimus, vt principio statim philosophię totam tractationē in suas diuideremus partes: vt liquere possit, quid sit, & quota eius pars sit physica, seu naturæ rerum enarratio. Stoici pronunciarunt, sapientiam esse rerum diuinarum humanarumque scientiam: philosophiam, quod est E sapientiæ studium, exercitationem esse artis ad sapientiam accommodatæ. talem autem esse artē vnicam ac supremam, virtutem. virtutes, quæ suo complexu latissime pateant, tres esse: naturalem, moralem, disserendi. itaque etiam philosophiam habere tres partes, naturalē, moralem & disserendi. Naturalem esse cum de mundo, & iis quæ in mūdo sunt, disputamus. moralē, quæ occupatur vitæ humanæ rationibus. logicā (sic enim Græci rationē disserēdi appellāt) quæ circa orationem versatur, eademq; ab ipsis dialectica dicitur. Aristoteles & Theophrastus, omnesq; fere peripatetici, hac ratione philosophiā distribuerunt: quam explicabo. Virum perfectū necesse est & cognitione rerum instructum esse, & aptum ad faciendū in actionibus humanis officium. Patet hoc exemplis propositis. Quęritur Sol animal sit necne, siquidem videtur. hoc qui quærit, in contemplatione versatur: nihil enim aliud considerat, quàm quid rei sit. itidē qui disputat de infinitate mūdi, aut an extra Vniuersum aliquid exstet. Ista omnia sunt contēplationis.

A Ἐμπεδοκλῆς Μέτωνος Ἀκραγαντῖνος τέτταρα μὲν λέγει στοιχεῖα, πῦρ, ἀέρα, ὕδωρ, γῆν· δύο δὲ ἀρχικὰς δυνάμεις, φιλίαν τε καὶ νεῖκος· ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δὲ, διαιρετικόν. φησὶ δὲ οὕτως,

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε.
Ζεὺς, αἰθὴρ, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς,
Νῆστίς θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

Δία μὲν γὰρ λέγει τὴν ζέσιν καὶ τὸν αἰθέρα. Ἥρην τε φερέσβιον, τὸν ἀέρα· τὴν δὲ γῆν, τὸν Ἀϊδωνέα· Νῆστιν δὲ καὶ κρούνωμα βρότειον, οἱονεὶ τὸ σπέρμα καὶ τὸ ὕδωρ. Σωκράτης Σωφρονίσκου Ἀθηναῖος, καὶ Πλάτων Ἀρίστωνος Ἀθηναῖος. B αἱ γὰρ αὐταὶ περὶ παντὸς ἑκατέρου δόξαι, τρεῖς ἀρχὰς, τὸν θεὸν, τὴν ὕλην, τὴν ἰδέαν. ἔστι δὲ ὁ θεὸς ὁ νοῦς, ὕλη δὲ τὸ ὑποκείμενον πρῶτον γενέσει καὶ φθορᾷ, ἰδέα δὲ οὐσία ἀσώματος ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ· ὁ δὲ θεὸς, νοῦς ἐστι τοῦ κόσμου. Ἀριστοτέλης δὲ Νικομάχου Σταγειρίτης ἀρχὰς μὲν ἐντελέχειαν, ἤτοι εἶδος, ὕλην, στέρησιν· στοιχεῖα δὲ τέτταρα, πέμπτον δέ τι σῶμα αἰθέριον ἀμετάβλητον. Ζήνων Μνασέου Κιτιεὺς ἀρχὰς μὲν τὸν θεὸν, καὶ τὴν ὕλην, ὧν ὁ μέν ἐστι τοῦ ποιεῖν αἴτιος, ἡ δὲ τοῦ πάσχειν, στοιχεῖα δὲ τέτταρα. ἡ δὲ τούτων αἵρεσις Ἰταλικὴ προσηγορεύθη, διὰ τὸ τὸν Πυθα- C γόραν ἐν Ἰταλίᾳ σχολάσαι. μετέστη γὰρ ἀπὸ Σάμου τῆς πατρίδος, τῇ Πολυκράτους τυραννίδι δυσαρεστήσας.

### Πῶς συνέστηκεν ὁ κόσμος. δ'.

Ὁ τοίνυν κόσμος συνέστη περικεκλασμένῳ σχήματι ἐσχηματισμένος τὸν τρόπον τοῦτον. τῶν ἀτόμων σωμάτων ἀπρονόητον καὶ τυχαίαν ἐχόντων τὴν κίνησιν, συνεχῶς τε καὶ τάχιστα κινουμένων εἰς τὸ αὐτὸ, πολλὰ σώματα συνηθροίσθη, καὶ διὰ τοῦτο ποικιλίαν ἔχοντα καὶ σχημάτων καὶ μεγεθῶν. ἀθροιζομένων δὴ ἐν ταυτῷ τούτων, τὰ μὲν ὅσα D μείζονα ἦν καὶ βαρύτατα, πάντως ὑπεκάθιζεν· ὅσα δὲ μικρὰ καὶ περιφερῆ καὶ λεῖα καὶ εὐόλισθα, ταῦτα καὶ ἐξεθλίβετο κατὰ τὴν τῶν σωμάτων σύνοδον, εἴς τε τὸ μετέωρον ἀνεφέρετο. ὡς δ' οὖν ἐξέλιπε μὲν ἡ πληκτικὴ δύναμις μετεωρίζουσα, οὐκέτι δὲ ἦγεν ἡ πληγὴ πρὸς τὸ μετέωρον, ἐκωλύετο δὲ ταῦτα κάτω φέρεσθαι, ἐπιέζετο πρὸς τοὺς τόπους τοὺς δυναμένους δέξασθαι. οὗτοι δὲ ἦσαν οἱ πέριξ, καὶ πρὸς τούτοις τὸ πλῆθος τῶν σωμάτων περιεκλᾶτο. περιπλεκόμενα δὲ ἀλλήλοις κατὰ τὴν περίκλασιν τὸν οὐρανὸν ἐγέννησαν, τῆς δ' αὐτῆς ἐχόμεναι φύσεως αἱ ἄτομοι ποικίλαι E οὖσαι (καθὼς εἴρηται) πρὸς τὸ μετέωρον ἐξωθούμεναι, τὴν τῶν ἀστέρων φύσιν ἀπετέλουν. τὸ δὲ πλῆθος τῶν ἀναθυμιωμένων σωμάτων ἔπληττε τὸν ἀέρα, καὶ τοῦτον ἐξέθλιβε· πνευματούμενος δὲ οὗτος κατὰ τὴν κίνησιν, καὶ συμπεριλαμβάνων τὰ ἄστρα, συμπεριῆγε ταῦτα, καὶ τὴν νῦν περιφορὰν αὐτῶν μετέωρον ἐφύλαττε. κἄπειτα ἐκ μὲν τῶν ὑποκαθιζόντων ἐγεννήθη ἡ γῆ, ἐκ δὲ τῶν μετεωριζομένων οὐρανὸς, πῦρ, ἀήρ. πολλῆς δὲ ὕλης ἔτι περιειλημμένης ἐν τῇ γῇ, πυκνουμένης τε ταύτης κατὰ τὰς ἀπὸ τῶν πνευμάτων πληγὰς, καὶ τὰς ἀπὸ F τῶν ἀστέρων αὔρας, προσεθλίβετο πᾶς ὁ μικρομερὴς σχηματισμὸς ταύτης, καὶ τὴν ὑγρὰν φύσιν ἐγέννα. ῥευστικῶς δὲ αὕτη διακειμένη κατεφέρετο πρὸς τοὺς κοίλους τόπους καὶ δυναμένους χωρῆσαί τε καὶ στέξαι, ἢ καθ' αὑτὸ τὸ ὕδωρ ὑποστὰν, ἐκοίλανε τοὺς ὑποκειμένους τόπους. τὰ μὲν οὖν κυριώτατα μέρη τοῦ κόσμου τὸν τρόπον τοῦτον ἐγεννήθη.

EMPEDOCLES Metonis F. Agrigetinus, quatuor dicit elemēta, Ignē, aerem, aquam, terram. duo autē principia, Amicitiam & discordiam: quorum hoc vniat res, alterum discernat. Sic autem ait:

*Radices primum rerum tibi quatuor edam.*
*Iupiter æthereus, Iuno vitalis, ad hos Dis.*
*Et Nestis lacrymis humanos quæ rigat alueos.*

Iouis enim nomine ignem intelligit atque ætherem, Iunonis vitalis aerem, Plutonis terram, Nestis & humanorum canalium, semen & aquam.

SOCRATES Sophronisci F. Atheniensis, & Plato Aristonis F. ciuis eius, (ambo enim idem de Vniuerso senserunt) tria statuunt principia, deum, materiam, ideam. Mens est, quod deum nominant: materia primum rebus orientibus & intereuntib. subiectum: idea natura corporis expers, in conceptis mentis & imaginationibus dei. deus autem mens est mundi. ARISTOTELES Nicomachi F. domo Stagerita, principia designauit, Formam, quam entelecheam dixit, Materiam, Priuationē. elementa quatuor. quintum corpus quoddam æthereum immutabile. ZENO Mnaseæ F. patria Citiensis, deum efficiendi, materiam perpetiendi principium posuit. tum elemēta quatuor. Horum secta Italica dicitur. à Pythagora, qui è Samo ob Polycratis tyrannidem sibi displicentem in Italiam commigrauit, ibique scholam aperuit.

### *Quomodo coaluerit mundus. Cap. IV.*

MVNDVS vndiquaque confracta forma concreuit, hoc modo. Cum insectilia corpuscula (sic nunc atomos voco) fortuito mouerentur, nulla motus gubernante prouidentia, continenterque & celerrime agitarentur: multa in vnum collecta sunt corpora, ob eamque causam magna iis fuit & figurarum & quantitatis varietas. Sic illis coactis, quæ maiora erant & grauissima, vtiq; subsederunt. quæ minora, rotunda, læuia, ac lubrica fuere, elisa in concursu corporum, in sublime sub uecta sunt. Postquam elanguit vis impellens, atque in sublime protrudens, reliqua, cum sursum efferri desiissent, neq; deorsum ferri quirent, compulsa sunt ad loca recipiendo apta, nimirum ea quæ sunt in ambitu. ad hæc multitudo corporum reflexa est: cumq; inter se cohærescerent inter reflectendum, cœlum genuerunt. Atomi autem eiusdem naturæ ac variæ, sicut dictum est, compulsæ in sublime astra confecerunt. Iam multitudo corporum exhalando sursum elatorum, aerem percussit, eoq; eliso, cum is motu in ventum esset redactus, cōplexus astra secum circumduxit, & eam sublimium corporum circumagitationē, quæ adhuc durat, effecit. deinde ex corporibus subsidentibus terra exstitit, ex subuectis in altū, effecta sunt cœlum, ignis, aer. Cum autem multum materiæ etiamnum in terra esset comprehensum, ac ictibus ventorum condensaretur, aurisq; ab astris venientibus, omnis terræ figura exiguis constans partibus compressa fuit, humidamque produxit naturam. Hæc cum esset fluida, in caua defluxit & capacia ob soliditatem, aut ipsa per se aqua consistens, subiecta loca excauauit. Hoc modo principes mundi partes ortæ sunt.

καὶ πνεῦμα μὲν διῆκον δι' ὅλου τοῦ κόσμου, τὰς δὲ προσηγορίας μεταλαμβάνον δι' ὅλης τῆς ὕλης, δι' ἧς κεχώρηκει παραλλάξει. θεὸν δὲ καὶ τὸν κόσμον καὶ τοὺς ἀστέρας καὶ τὴν γῆν, τὸν δ' ἀνωτάτω πάντων νοῦν, ἐν αἰθέρι. Ἐπίκουρος ἀνθρωποειδεῖς μὲν πάντας τοὺς θεούς, λόγῳ δὲ πάντας τούτους θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως. ὁ δ' αὐτὸς ἄλλας τέσσαρας φύσεις κατὰ γένος ἀφθάρτους τάσδε, τὰ ἄτομα, τὸ κενόν, τὸ ἄπειρον, τὰς ὁμοιότητας· αὗται δὲ λέγονται ὁμοιομέρειαι καὶ στοιχεῖα.

## Περὶ δαιμόνων καὶ ἡρώων. η'.

Παρακειμένως δὲ τῷ περὶ θεῶν λόγῳ τὸν περὶ δαιμόνων καὶ ἡρώων ἱστορητέον. Θαλῆς, Πυθαγόρας, Πλάτων, οἱ Στωϊκοί, δαίμονας ὑπάρχειν οὐσίας ψυχικάς. εἶναι δὲ καὶ ἥρωας τὰς κεχωρισμένας ψυχὰς τῶν σωμάτων, καὶ ἀγαθοὺς μέν, τὰς ἀγαθάς, κακοὺς δέ, τὰς φαύλας. Ἐπίκουρος δέ, οὐδὲν τούτων ἐγκρίνει.

## Περὶ ὕλης. θ'.

Ὕλη ἐστὶ τὸ ὑποκείμενον πρῶτον γενέσει καὶ φθορᾷ καὶ ταῖς ἄλλαις μεταβολαῖς. οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου καὶ οἱ Στωϊκοὶ τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ μεταβλητὴν καὶ ῥευστὴν ὅλην δι' ὅλου τὴν ὕλην. οἱ ἀπὸ Δημοκρίτου, ἀπαθῆ τὰ πρῶτα, τὴν ἄτομον, καὶ τὸ κενόν, καὶ τὸ ἀσώματον. Ἀριστοτέλης καὶ Πλάτων, τὴν ὕλην σωματοειδῆ, καὶ ἄμορφον, ἀνείδεον, ἀσχημάτιστον, ἄποιον μὲν ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει, δεξαμένην δὲ τῶν εἰδῶν, οἷον τιθήνην καὶ ἐκμαγεῖον καὶ μητέρα γενέσθαι. οἱ δὲ ὕδωρ λέγοντες, ἢ γῆν, ἢ πῦρ, ἢ ἀέρα, τὴν ὕλην, οὐκέτι ἄμορφον αὐτὴν λέγουσιν, ἀλλὰ σῶμα· οἱ δὲ τὰ ἀμερῆ, καὶ τὰς ἀτόμους, ἄμορφον.

## Περὶ ἰδέας. ι'.

Ἰδέα ἐστὶν οὐσία ἀσώματος, αὐτὴ μὲν μὴ ὑφεστῶσα καθ' αὑτήν, εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας, καὶ αἰτία γινομένη τῆς τούτων δείξεως. Σωκράτης καὶ Πλάτων χωριστὰς τῆς ὕλης οὐσίας τὰς ἰδέας ὑπολαμβάνει ἐν τοῖς νοήμασι καὶ ἐν ταῖς φαντασίαις τοῦ θεοῦ, τουτέστι τοῦ νοῦ, ὑφεστώσας. Ἀριστοτέλης δὲ εἴδη μὲν ἀπέλιπε καὶ ἰδέας, οὐ μὴν κεχωρισμένας τῆς ὕλης, ὁ ἐξ ὧν γεγονὸς τὸ ὑπὸ τοῦ θεοῦ. οἱ ἀπὸ Ζήνωνος Στωϊκοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας ἔφασαν.

## Περὶ αἰτίων. ια'.

Αἴτιόν ἐστι τὸ ἀποτέλεσμα, ἢ δι' ὃ συμβαίνει τι. Πλάτων τριχῶς τὸ αἴτιον. φησὶ γὰρ ὑφ' οὗ, ἐξ οὗ, πρὸς ὅ. κυριώτερον δὲ ἡγεῖται τὸ ὑφ' οὗ. τὸ δ' ἦν τὸ ποιοῦν, ὅ ἐστι νοῦς. Πυθαγόρας καὶ Ἀριστοτέλης τὰ μὲν πρῶτα αἴτια, ἀσώματα· τὰ δὲ κατὰ μετοχὴν ἢ κατὰ συμβεβηκός, τῆς σωματικῆς ὑποστάσεως. ὥστε εἶναι τὸν κόσμον σῶμα. οἱ Στωϊκοὶ πάντα τὰ αἴτια, σωματικά· πνεύματα γάρ.

## Περὶ σωμάτων. ιβ'.

Σῶμά ἐστι τὸ τριχῆ διαστατόν, πλάτει, βάθει, μήκει· ἢ ὄγκος ἀντίτυπος, ὅσον ἐφ' ἑαυτῷ· ἢ τὸ κατέχον τόπον. Πλάτων, ὃ μήτε βαρὺ μήτε κοῦφον ἐστὶ τῇ φύσει, ἔν γε τῷ οἰκείῳ τόπῳ ὑπάρχον. ἐν δέ γε τῷ ἀλλοτρίῳ γινόμενον, τότε ἰδοῦσιν ἴσχειν ἐκ δὲ τῆς νεύσεως ῥοπὴν ἤτοι πρὸς βαρύτητα ἢ κου-

A Ac spiritum quidem per totum penetrare mundum, nomina autẽ à materiæ, quam peruadit, sumere mutationibus. Ad hæc, deum esse mundum, stellas, terram: supremum autem omnium deorum esse mentem quæ est in æthere. EPICVRVS omnibus diis humanam formam tribuit, solaque eos ait cerni ratione, ob tenuitatem partium natu ræ simulacrorum. Idem alias quatuor naturas perdidit interitus expertes: atomos, inane, infinitum, partes similares: quæ etiam elementa vocat.

### *De geniis & heroibus. Cap. IIX.*

TRACTATIONI de diis, adiiciamus narrationem de geniis & heroibus. Thales, Pythagoras, B Plato, Stoici, esse aiunt genios, substantias anima præditas. Heroes quoq; esse animas à corporibus separatas. bonos, si bonæ: malos, si malæ. Epicurus nihil horum admittit.

### *De materia. Cap. IX.*

MATERIA est primum ortus interitusq; subiectum, aliarumque mutationum. Qui Thaletem Pythagoramque sequuntur, & Stoici, mutabilem fluxamque totã suapte natura per Vniuersum eam statuunt. Democriti sectatores non affici prima, C atomum, inane, & incorporeum. Aristoteles & Plato materiam esse corpoream, formæ speciei; expertẽ ac figuræ, qualitatis etiam suapte natura vacuam: sed formarum receptaculum, tanquam nutricem & subiectum in quo rerum imagines impressu referantur, ac matricem. Qui pro materia aquam, terram, ignem, aerem ve ponunt, ii iam nõ informem materiam, sed corpus ponunt. informem, qui indiuidua corpora siue atomos.

### *De Idea. Cap. X.*

IDEA substantia est corporis expers, quæ cum per sese ipsa subsistit, tum formæ expertem materiam informat, iisq; rebus causam præbet vt exsi- D stant ac monstrari possint. Socrates & Plato ideas putauerunt à materia secerni, & in intellectu ac imaginatione dei subsistere. Aristoteles formas atque ideas reliquit: non tamen à materia secretas. Idem enim alienus ab ea fuit sententia, quæ mundi creationem deo adscribit. Stoici, cuius sectæ Zeno princeps fuit, nostræ mentis conceptus idearum nomine intelligunt.

### *De causis. Cap. XI.*

CAVSA est, cuius effectus est, aut à qua aliquid proficiscitur. Plato triplicem facit causam, Efficientem, Materiam, Finem. Principatum tamen E efficienti defert, quæ est mens. Pythagoras. * Aristoteles primas causas facit corporis exsortes, alias participatione aut per accidens substantiæ corporeæ, ita vt mundus sit corpus. Stoici omnes causas statuunt corporeas: dicunt enim esse Spiritus.

### *De corporibus. Cap. XII.*

CORPVS est quod tres habet dimensiones, latitudinem, profunditatem, lõgitudinem. aut moles sensui per se renitens: aut quod locum occupat. Platoni, quod neque graue est suapte natura, neq; leue, dum suo proprio est in loco: cum vero est F in alieno, tum id inclinari, inclinandoque momẽtum aut ad grauitatem aut ad leuitatẽ adipisci.

Aristotelis sententia est, terram simpliciter esse grauissimam, ignem leuissimum: aerem & aquam alias aliter habere STOICI duo de quatuor elementis leuia esse, aerem & ignem: duo grauia, aquam & terram. Leue enim esse, quod non inclinatione aliqua, sed natura fertur à medio. graue, quod ad medium. ipsum enim medium non est graue. EPICVRVS incomprehensibilia esse corpora: prima autem, simplicia. quæ autem ex his concreta sint, omnia esse grauia. atomos moueri, alias ad perpendiculum, alias deflexione quadam: quæ sursum ferantur, alias ictu, alias trepidatione.

*De minimis.* Cap. XIII.

EMPEDOCLES ante quatuor elementa ponit quædam minutissima fragmenta, tanquam elementa elementis priora, similarium partium & teretia. HERACLETVS ramenta quædam minima & diuisionem non admittentia introducit.

*De figuris.* Cap. XIV.

FIGVRA superficies est, & circumscriptio atque terminus corporis. Pythagorici quatuor elementorum corpora globosa esse aiunt, igni demto, cui vt supremo, turbinis formam tribuunt.

*De coloribus.* Cap. XV.

COLOR qualitas corporis est, quæ visu potest percipi. Pythagorei colorem appellauerunt superficiem corporis. Empedocles, id quod congrueret meatibus visui inseruientibus. Plato flammam à corporibus emicantem, cuius partes proportione respondeant visui. Zeno Stoicus colores primam materiæ figurationem esse dixit. Pythagorei coloris genera faciunt album, nigrum, rubrum, pallidum. discrimina colorum deducunt à certis mixtionibus elementorum: & in animalibus, ob varietates locorum atque aeris.

*De sectione corporum.* Cap. XVI.

THALETIS & Pythagoræ sectatores, negant in infinitum progredi sectionem eorum corporum, quę motibus sunt obnoxia, sed subsistere in iis quę indiuidua sunt, & atomi dicuntur. Aristoteles facultate infinitam esse docet sectionem corporum, sed actu eam facultatem nullo finiri.

*De mixtione & temperatione.* Cap. XVII.

VETERES qualitatum mutatione censuerunt elementa misceri. Anaxagoras, & Democritus, eorumque asseclæ, iuxta se inuicem positione. Empedocles ex minoribus molibus coalescere elementa, quæ sint minimæ, ac tanquam elementorum elementa. Plato tria corpora. non enim vult ea esse elementa, aut appellare: sed inter se commutari, ignem, aerem, aquam, terram in horum vllum non posse permutari.

*De inani.* Cap. XVIII.

A THALETE ad Platonem vsque philosophi naturam scrutantes, vacuum esse negauerunt. Empedocles sic:

*In mundo vacuum nihil est, nihil est quod abundet.*

Leucippus, Democritus, Demetrius, Metrodorus, Epicurus, corpora sectionem non admittentia dixerunt multitudine infinita, inane autem magnitudine esse infinitum. Stoici censuerunt nullum intra mundum esse inane, sed extra mundum esse. Aristoteles tantum esse inane extra mundum, vt respirare possit cœlum: esse enim hoc igneum.

A φότητα. Ἀριστοτέλης βαρύτατον μὲν εἶναι τὴν γῆν ἁπλῶς, κουφότατον δέ, τὸ πῦρ· ἀέρα δὲ καὶ ὕδωρ, ἄλλοτ' ἄλλως. οἱ Στωϊκοὶ δύο μὲν ἐκ τῶν τεττάρων στοιχείων κοῦφα, πῦρ καὶ ἀέρα· δύο δὲ βαρέα, ὕδωρ καὶ γῆν. κοῦφον γὰρ ὑπάρχει ὃ φύσει οὐ νεύει ἀπὸ τοῦ ἰδίου μέσου. βαρὺ δέ, τὸ εἰς μέσον. βαρὺ δὲ οὐκ ἔστι τὸ μέσον. Ἐπίκουρος δέ, ἀπερίληπτα εἶναι τὰ σώματα καὶ τὰ πρῶτα δέ, ἁπλᾶ, τὰ δὲ ἐξ ἐκείνων συγκρίματα, πάντα βάρος ἔχειν· κινεῖσθαι δὲ τὰ ἄτομα, τὸ μὲν κατὰ στάθμην, τὸ δὲ κατὰ παρέγκλισιν, τὰ δὲ ἄνω κινούμενα, κατὰ πληγήν, κατὰ παλμόν.

B

Περὶ ἐλαχίστων. ιγ΄.

ΕΜΠΕΔΟΚΛΗΣ πρὸ τῶν τεττάρων στοιχείων θραύσματα ἐλάχιστα οἱονεὶ στοιχεῖα, πρὶν στοιχείων, ὁμοιομερῆ, ὅπερ ἐστὶ στρογγύλα. Ἡράκλειτος ψηγμάτιά τινα ἐλάχιστα καὶ ἀμερῆ εἰσάγει.

Περὶ σχημάτων. ιδ΄.

ΣΧΗΜΑ, ἐστὶν ἐπιφάνεια καὶ περιγραφὴ καὶ πέρας σώματος. οἱ ἀπὸ Πυθαγόρου, σφαιρικὰ τὰ σώματα τῶν τεττάρων στοιχείων, μόνον δὲ τὸ ἀνώτατον πῦρ, κωνοειδές.

C

Περὶ χρωμάτων. ιε΄.

ΧΡΩΜΑ, ἐστὶ ποιότης σώματος ὁρατή. οἱ Πυθαγορικοὶ χροιὰν ἐκάλουν τὴν ἐπιφάνειαν τοῦ σώματος· Ἐμπεδοκλῆς τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον· Πλάτων φλόγα ἀπὸ τῶν σωμάτων, σύμμετρα μόρια ἔχουσαν πρὸς τὴν ὄψιν. Ζήνων ὁ Στωϊκὸς τὰ χρώματα, πρώτους εἶναι σχηματισμοὺς τῆς ὕλης. οἱ ἀπὸ Πυθαγόρου τὰ γένη τῶν χρωμάτων, λευκόν τε καὶ μέλαν, ἐρυθρόν, ὠχρόν· τὰς δὲ διαφορὰς τῶν χρωμάτων παρὰ τὰς ποιὰς μίξεις τῶν στοιχείων τὰς δὲ τῶν ζώων, καὶ παρὰ τὰς ποικιλίας τῶν
D τόπων καὶ τῶν ἀέρων.

Περὶ τομῆς σωμάτων. ις΄.

Οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου παθητὰ σώματα, καὶ τμητὰ εἰς ἄπειρον· ἢ τὰς ἀτόμους ἢ τὰ ἀμερῆ ἵστασθαι, καὶ μὴ εἰς ἄπειρον εἶναι τὴν τομήν. Ἀριστοτέλης δυνάμει μὲν εἰς ἄπειρον, ἐντελεχείᾳ δὲ οὐδαμῶς.

Περὶ μίξεως καὶ κράσεως. ιζ΄.

Οἱ μὲν ἀρχαῖοι τὰς τῶν στοιχείων μίξεις, κατ' ἀλλοίω-
E σιν· οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον, κατὰ παράθεσιν· Ἐμπεδοκλῆς δὲ ἐκ μικροτέρων ὄγκων τὰ στοιχεῖα συγκρίνει, ἅπερ ἐστὶν ἐλάχιστα, καὶ οἱονεὶ στοιχεῖα στοιχείων. Πλάτων μὲν τρία σώματα (οὐ γὰρ θέλει κυρίως αὐτὰ εἶναι στοιχεῖα, ἢ προσονομάζειν) τρεπτὰ εἰς ἄλληλα, πῦρ, ἀέρα, ὕδωρ· τὴν δὲ γῆν, εἴς τι τούτων ἀμετάβλητον.

Περὶ κενοῦ. ιη΄.

Οἱ ἀπὸ Θάλεω φυσικοὶ πάντες μέχρι Πλάτωνος τὸ κενὸν ἀπέγνωσαν. Ἐμπεδοκλῆς, Οὐδέν τι τοῦ παντὸς κενὸν πέλει οὐδὲ περισσόν. Λεύκιππος, Δημόκριτος, Δημήτριος.
F Μητρόδωρος, Ἐπίκουρος, τὰ μὲν ἄτομα, ἄπειρα τῷ πλήθει· τὸ δὲ κενόν, ἄπειρον τοῖς μεγέθεσι. οἱ Στωϊκοί, ἐντὸς τοῦ κόσμου οὐδὲν εἶναι κενόν, ἔξωθεν δ' αὐτοῦ ἄπειρον. Ἀριστοτέλης τοσοῦτον εἶναι τὸ κενὸν ἐκτὸς τοῦ κόσμου, ὥστε ἀναπνεῖν τὸν οὐρανόν· εἶναι γὰρ αὐτὸν πύρινον.

### Περὶ τόπου. ιθ'. A

ΠΛΑΤΩΝ, τὸ μεταληπτικὸν τῶν εἰδῶν, ὅπερ εἴρηκε μεταφορικῶς τὴν ὕλην, καθάπερ τινὰ τιθήνην καὶ δεξαμενήν. Ἀριστοτέλης, τὸ ἔσχατον τοῦ περιέχοντος συνάπτον τῷ περιεχομένῳ.

### Περὶ χώρας. κ'.

Οἱ Στωϊκοὶ καὶ Ἐπίκουρος, διαφέρειν κενὸν, τόπον, χώραν· καὶ τὸ μὲν κενὸν, εἶναι ἐρημίαν σώματος· τὸν δὲ τόπον, τὸ ἐχόμενον ὑπὸ τοῦ σώματος· τὴν δὲ χώραν, τὸ ἐκ μέρους ἐχόμενον, ὥσπερ ἐπὶ τοῦ οἴνου πιθάκνης.

### Περὶ χρόνου. κα'. B

ΠΥΘΑΓΟΡΑΣ, τὸν χρόνον, τὴν σφαῖραν τοῦ περιέχοντος εἶναι· Πλάτων, αἰῶνος εἰκόνα κινητὴν, ἢ διάστημα τῆς τοῦ κόσμου κινήσεως· Ἐρατοσθένης τὴν τοῦ ἡλίου πορείαν.

### Περὶ οὐσίας χρόνου. κβ'.

ΠΛΑΤΩΝ, οὐσίαν χρόνου τὴν τοῦ οὐρανοῦ κίνησιν. οἱ πλείους τῶν Στωϊκῶν αὐτὴν τὴν κίνησιν· καὶ οἱ μὲν πλείους ἀγέννητον τὸν χρόνον, Πλάτων δὲ γεννητὸν κατ' ἐπίνοιαν.

### Περὶ κινήσεως. κγ'.

ΠΥΘΑΓΟΡΑΣ, Πλάτων, κίνησις, ἐστὶ διαφορά τις ἢ ἑτερότης ἐν ὕλῃ. C Ἀριστοτέλης, ἐντελέχεια κινητοῦ. Δημόκριτος, ἓν γένος τῆς κινήσεως τὸ κατὰ πλάγιον. Ἐπίκουρος, δύο εἴδη τῆς κινήσεως, τὸ κατὰ σταθμὴν, καὶ τὸ κατὰ παρέγκλισιν. Ἡρόφιλος, κινήσεως τὴν μὲν, λόγῳ θεωρητὴν, τὴν δὲ, αἰσθητήν. Ἡράκλειτος ἠρεμίαν μὲν καὶ στάσιν ἐκ τῶν ὅλων ἀνῄρει· (ἔστι γὰρ τοῦτο τῶν νεκρῶν) κίνησιν δὲ ἀΐδιον μὲν τοῖς ἀϊδίοις, φθαρτὴν δὲ τοῖς φθαρτοῖς.

### Περὶ γενέσεως καὶ φθορᾶς. κδ'.

ΠΑΡΜΕΝΙΔΗΣ, Μέλισσος, Ζήνων, ἀνῄρουν γένεσιν καὶ φθορὰν, διὰ τὸ νομίζειν τὸ πᾶν ἀκίνητον. Ἐμπεδοκλῆς δὲ D καὶ Ἐπίκουρος, καὶ πάντες ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι, συγκρίσεις μὲν καὶ διακρίσεις εἰσάγουσι, γενέσεις δὲ καὶ φθορὰς οὐ κυρίως. οὐ γὰρ κατὰ ποιὸν ἐξ ἀλλοιώσεως, κατὰ δὲ ποσὸν ἐκ συναθροισμοῦ ταύτας γίνεσθαι. Πυθαγόρας καὶ πάντες ὅσοι παθητὴν τὴν ὕλην ὑποτίθενται κυρίως γένεσιν καὶ φθορὰν γίνεσθαι. ἐκ γὰρ ἀλλοιώσεως στοιχείων καὶ τροπῆς καὶ ἀναλύσεως ταῦτα γίνεσθαι.

### Περὶ ἀνάγκης. κε'.

ΘΑΛΗΣ, ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ τοῦ παντός. E Πυθαγόρας ἀνάγκην ἔφη περικεῖσθαι τῷ κόσμῳ. Παρμενίδης καὶ Δημόκριτος πάντα κατὰ ἀνάγκην· τὴν αὐτὴν δὲ εἶναι καὶ εἱμαρμένην, καὶ δίκην, καὶ πρόνοιαν, καὶ κοσμοποιόν.

### Περὶ οὐσίας ἀνάγκης. κς'.

ΠΛΑΤΩΝ, τὰ μὲν εἰς πρόνοιαν ἄγει, τὰ δὲ εἰς ἀνάγκην. Ἐμπεδοκλῆς οὐσίαν ἀνάγκης, αἰτίαν χρηστικὴν τῶν ἀρχῶν καὶ τῶν στοιχείων. Δημόκριτος τὴν ἀντιτυπίαν, καὶ τὴν φορὰν καὶ πληγὴν τῆς ὕλης. Πλάτων ὁτὲ μὲν τὴν ὕλην, ὁτὲ δὲ τὴν τοῦ ποιοῦντος πρὸς τὴν ὕλην σχέσιν. F

### Περὶ εἱμαρμένης. κζ'.

ΗΡΑΚΛΕΙΤΟΣ πάντα καθ' εἱμαρμένην, τὴν δὲ αὐτὴν ὑπάρχειν καὶ ἀνάγκην. Πλάτων ἐγκρίνει μὲν τὴν εἱμαρμένην ἐπὶ τῶν ἀνθρωπίνων ψυχῶν καὶ βίων,

### *De loco. Cap. XIX.*

PLATO id locum vocauit, quod in se admitteret formas, translatione vtens in materia notanda, quæ quasi nutrix sit atq; receptaculum. Aristoteles, extremitatem corporis continentis, contiguam contento.

### *De capacitate. Cap. XX.*

STOICI & Epicurus differre volunt inane, locum, capacitatem: & definiunt inane vacuitate corporis: locum, qui à corpore occupetur: capacitatem, quod partim à corpore impletur, vt dolium à vino.

### *De tempore. Cap. XXI.*

PYTHAGORAS sensit, tempus esse globum ambientis corporis. Plato, mobilem æternitatis imaginem, aut motus mundi interuallum. Eratosthenes, Solis motum.

### *De natura, seu substantia temporis. Cap. XXII.*

EAM Plato dicebat esse motum cœli. Plerique Stoicorum, ipsum motum: nec non, temporis nullum fuisse exordium. Plato, intelligentia genitum.

### *De motu. Cap. XXIII.*

HANC Plato post Pythagoram differentiam quandam aut diuersitatem esse in materia dixit. Aristoteles, actum (ipsius vox est entelecheia) rei mobilis. Democritus, vnum genus motui dedit, obliquum. Epicurus duas motus species, ad perpendiculum, & ad declinationem. Herophilus, motum alium sola mente intelligi, alium sentiri. Heracletus motum & statum prorsum è natura sustulit. hunc mortuorum esse dicens, motum autem sempiternorum perennem, intermittentem esse rerum fluxarum.

### *De ortu & interitu. Cap. XXIV.*

PARMENIDES, Melissus, Zeno, cum omnia motus expertia esse opinarentur, ortum & interitum prorsus negauerunt. Empedocles, Epicurus, denique quotquot mundum è minutis construunt particulis: ij concretiones quidē ac secretiones quasdam introducunt, ortus & interitus esse negant. neq; enim qualitates alterando, neq; coaceruatione incrementa fieri. Pythagoras, & quotquot materiam perpessionibus obnoxiam ponunt, ij proprie ortus & interitus esse affirmant. res enim alteratione, mutatione, & resolutione elementorum fieri.

### *De necessitate. Cap. XXV.*

THALETIS est: validissima omnium est necessitas: omnia enim ei subsunt. Pythagoras aiebat mundo circumdatam esse necessitatem. Parmenides & Democritus, omnia fieri ex necessitate. eandemque esse Fatum, Iusticiam, Prouidentiam, mundi effectricem.

### *De natura, siue substantia necessitatis. Cap. XXVI.*

PLATO quædam ad prouidentiam, quædam ad necessitatem reuocat. Empedocles naturam necessitatis, causam esse ait, quæ vtatur principiis & elementis. Democritus renisum, lationem, & percussionem materiæ. Plato alias materiam, alias effectricis causæ respectum ad materiam.

### *De fato. Cap. XXVII.*

HERACLETVS omnia fato fieri dixit: idq; idē esse cū fato. Plato inserit quidē fatū humanæ vitæ atq;

actionibus: addit tamen causas à nobis profectas. Stoici, hac in re Platonis similes, necessitatem aiunt causam esse immobilem & violentam: Fatum vero connexum esse causarum ordine contentum, quo etiam includantur ea quæ sunt nostra: quorum alia fatalia debeant haberi, alia fato non concessa.

### *De natura fati.* Cap. XXVIII.

HERACLETUS fati substantiam esse ait rationem quæ per vniuersi naturam transeat: ipsa autem sit æthereum corpus, semen procreationis vniuersi. Plato rationem legemq; æternam naturæ vniuersi. Chrysippus facultatem spiritualem, quæ totum mundum ordine disponat. Idem in Definitionibus, Fatum, inquit, mundi est ratio, aut lex eorum quæ sunt in mundo, ac prouidentia administrantur. Aut: ratio, secundum quam & quæ fuere, facta sunt: & fiunt quæ fiunt: & fient ea quæ erunt. Stoici seriem causarum, id est, ordinem & connexionem inuiolabilem. Possidonius tertium à Ioue locum tribuit: primum enim Ioui adsignat, secundum naturæ, tertium fato.

### *De fortuna.* Cap. XXIX.

HANC Plato ait causam per accidens esse & consequi inopinato in iis, quæ consilio institutoq; hominum suscipiuntur. Aristoteles causam per accidens in his, quæ appetitu mouente finis causa aguntur: incertam eam, & stabilem. Porro fortunam à casu differre: cum illa in actionibus locum habeat duntaxat, casumq; admittat: casus autem fortunę locum non det semper, quippe cum casus & in ratione præditis, & inbrutis, adeoque etiam inanimatis locum habeat: fortuna non, nisi vbi ratio inest. Epicurus causam esse dixit instabilem, ob mutationem personarum, temporum, morum. Anaxagoras & Stoici, causam dicunt esse quæ humana ratiocinatione cognosci nequeat. Fieri enim alia necessario, alia fato, alia instituto animi, alia forte fortuna, alia casu.

### *De natura.* Cap. XXX.

EMPEDOCLI visum fuit, nihil esse naturam, nisi permixtionem & diuulsionem elementorum. Sic enim scribit in primo libro de Naturali philosophia:

*Iam quod naturam mortales nomine dicunt,*
*Hoc nihil est: neq; enim mortem natura, vel ortum*
*Humano præbet generi. nam mixtio tantum,*
*Mixtorumq; subest quædam secretio rebus,*
*Idq; homines vulgo naturam dicere suerunt.*

Itidem Anaxagoras concretionem, & secretionem, id est, ortum & interitum, naturę nomine intelligebat.

A συνεισάγει δὲ καὶ τὴν παρ' ἡμᾶς αἰτίαν. οἱ Στωϊκοὶ Πλάτωνι ἐμφερῶς, καὶ τὴν μὲν ἀνάγκην ἀνίκητόν φασιν αἰτίαν καὶ βιαστικήν· τὴν δὲ εἱμαρμένην, συμπλοκὴν αἰτιῶν τεταγμένην, ἐν ᾗ συμπλοκῇ καὶ τὸ παρ' ἡμᾶς, ὥστε τὰ μὲν εἱμάρθαι, τὰ δὲ ἀνειμάρθαι.

### Περὶ οὐσίας εἱμαρμένης. κη΄.

ἩΡΑΚΛΕΙΤΟΣ οὐσίαν εἱμαρμένης, λόγον τὸν διὰ τῆς οὐσίας τοῦ παντὸς διήκοντα. αὕτη δέ ἐστι τὸ αἰθέριον σῶμα, σπέρμα τῆς τοῦ παντὸς γενέσεως. Πλάτων λόγον ἀΐδιον καὶ
B νόμον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως. Χρύσιππος δύναμιν πνευματικὴν τάξει τοῦ παντὸς διοικητικήν. καὶ πάλιν ἐν τοῖς ὅροις, Εἱμαρμένη ἐστὶν ὁ τοῦ κόσμου λόγος, ἢ νόμος τῶν ὄντων ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων, ἢ λόγος καθ' ὃν τὰ μὲν γεγονότα, γέγονε· τὰ δὲ γινόμενα, γίνεται· τὰ δὲ γενησόμενα, γενήσεται. οἱ Στωϊκοὶ, εἱρμὸν αἰτιῶν, τουτέστι τάξιν καὶ ἐπισύνδεσιν ἀπαράβατον. Ποσειδώνιος τρίτην ἀπὸ Διός. πρῶτον μὲν γὰρ εἶναι τὸν Δία, δεύτερον, τὴν φύσιν, τρίτον δὲ, τὴν εἱμαρμένην.

### Περὶ τύχης. κθ΄.

C ΠΛΑΤΩΝ αἰτίαν ἐν προαιρετικοῖς κατὰ συμβεβηκὸς, καὶ παρακολούθημα. Ἀριστοτέλης αἰτίαν κατὰ συμβεβηκὸς ἐν τοῖς καθ' ὁρμὴν ἕνεκά τινος γινομένοις, ἄδηλον καὶ ἄστατον. διαφέρειν δὲ τὸ τύχης τὸ αὐτόματον· τὸ μὲν γὰρ ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου εἶναι ἐν τοῖς πρακτέοις πάντως· τὸ δὲ αὐτόματον, οὐκ ἀπὸ τύχης· (ἐν γὰρ τοῖς ἔξω πράξεως) καὶ τὴν μὲν τύχην, τῶν λογικῶν· τὸ δὲ αὐτόματον, καὶ τῶν λογικῶν καὶ τῶν ἀλόγων ζώων καὶ τῶν ἀψύχων σωμάτων. Ἐπίκουρος ἄστατον αἰτίαν προσώποις, χρόνοις, τρόποις. Ἀναξαγόρας καὶ οἱ Στωϊκοὶ ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ. ἃ μὲν γὰρ εἶναι κατ' ἀνάγκην, ἃ δὲ καθ' εἱμαρμένην,
D ἃ δὲ κατὰ προαίρεσιν, ἃ δὲ κατὰ τύχην, ἃ δὲ κατὰ τὸ αὐτόματον.

### Περὶ φύσεως. λ΄.

ΕΜΠΕΔΟΚΛΗΣ φύσιν μηδὲν εἶναι, μίξιν δὲ τῶν στοιχείων καὶ διάστασιν. γράφει γὰρ οὕτως ἐν τῷ πρώτῳ φυσικῷ,

Ἄλλο δέ τοι ἐρέω. φύσις οὐδενός ἐστιν ἁπάντων
Θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτή,
Ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων
Ἐστὶ, φύσις δὲ βροτοῖς ὀνομάζεται ἀνθρώποισιν.

E Ἀναξαγόρας ὁμοίως τὴν φύσιν, σύγκρισιν καὶ διάκρισιν, τουτέστι γένεσιν καὶ φθοράν.

A

# ΠΛΟΥΤΑΡΧΟΥ

## Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις,

### ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΤΕΤΕΛΕΥΚΩΣ πίνω τὸν περὶ ἀρχῶν αὖθις λόγον, τρέψομαι πρὸς τὸν ἐπὶ αὐτοῖς λόγον, τρέψομαι πρὸς τὸν ἐπὶ τῶν ἀποτελεσμάτων, ἀπὸ τοῦ περιεκτικωτάτου τούτων ἐνστησάμενος.

### Περὶ κόσμου. α'.

ΠΥΘΑΓΟΡΑΣ πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν, κόσμον, ἐκ τῆς ἐν αὐτῷ τάξεως. Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ, ἕνα τὸν κόσμον. Δημόκριτος καὶ Ἐπίκουρος καὶ ὁ τούτων μαθητὴς Μητρόδωρος, ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κατὰ πᾶσαν περίστασιν. Ἐμπεδοκλῆς τὴν τοῦ ἡλίου περιδρομὴν εἶναι περιγραφὴν τοῦ κόσμου, καὶ τοῦτο πέρας αὐτοῦ. Σέλευκος ἄπειρον τὸν κόσμον. Διογένης τὸ μὲν πᾶν, ἄπειρον, τὸν δὲ κόσμον πεπεράνθαι. οἱ Στωϊκοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον. πᾶν μὲν γὰρ εἶναι τὸ σὺν κενῷ ἄπειρον, ὅλον δὲ χωρὶς τοῦ κενοῦ κόσμον· ὥστε οὐ τὸ αὐτὸ εἶναι τὸ ὅλον καὶ τὸν κόσμον.

### Περὶ σχήματος. β'.

Οἱ μὲν Στωϊκοὶ σφαιροειδῆ τὸν κόσμον, ἄλλοι δὲ, κωνοειδῆ, οἱ δὲ, ὠοειδῆ. Ἐπίκουρος δὲ, ἐνδέχεσθαι μὲν εἶναι σφαιροειδεῖς τοὺς κόσμους, ἐνδέχεσθαι δὲ καὶ ἑτέροις σχήμασι κεχρῆσθαι.

### Εἰ ἔμψυχος ὁ κόσμος. γ'.

Οἱ μὲν ἄλλοι πάντες ἔμψυχον τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον. Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι τὰ ἄτομα εἰσηγοῦνται καὶ τὸ κενὸν, οὔτε ἔμψυχον, οὔτε προνοίᾳ διοικεῖσθαι, φύσει δέ τινι ἀλόγῳ. Ἀριστοτέλης οὔτ' ἔμψυχον ὅλον δι' ὅλων, οὔτε μὴν αἰσθητικὸν, οὔτε λογικὸν, οὔτε νοερὸν, οὔτε προνοίᾳ διοικούμενον. τὰ μὲν γὰρ οὐράνια τούτων ἁπάντων κοινωνεῖν· (σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικάς) τὰ δὲ περίγεια μηδενὸς αὐτῶν, τῆς δ' εὐταξίας κατὰ συμβεβηκὸς, οὐ προηγουμένως μετέχειν.

### Εἰ ἄφθαρτος ὁ κόσμος. δ'.

ΠΥΘΑΓΟΡΑΣ καὶ Πλάτων, γενητὸν ὑπὸ θεοῦ τὸν κόσμον· καὶ φθαρτὸν μὲν, ὅσον ἐπὶ τῇ φύσει, (αἰσθητὸν γὰρ εἶναι διὰ τὸ σωματικὸν) οὐ μὴν φθαρησόμενόν γε, προνοίᾳ καὶ συνοχῇ θεοῦ. Ἐπίκουρος φθαρτὸν, ὅτι καὶ γενητὸν, ὡς ζῶον, ὡς φυτόν. Ξενοφάνης, ἀγένητον καὶ ἀΐδιον καὶ ἄφθαρτον τὸν κόσμον. Ἀριστοτέλης, τὸ ὑπὸ τὴν σελήνην τοῦ κόσμου μέρος παθητὸν, ἐν ᾧ καὶ τὰ περίγεια κηραίνεται.

### Πόθεν τρέφεται ὁ κόσμος. ε'.

ΑΡΙΣΤΟΤΕΛΗΣ, Εἰ τρέφεται ὁ κόσμος, καὶ φθαρήσεται. ἀλλὰ μὴν οὐδεμιᾶς τινος ἐπιδεῖται τροφῆς, διὰ τοῦτο καὶ ἀΐδιος.

# PLVTARCHI

## De Placitis philosophorum, hoc est, breuis recensionis sententiarum de natura rerum.

### LIBER II.

B

ABSOLVTA relatione de principiis, elementis, & aliis quæ ad eãdem pertinent classem, ad effecta proinde me conuertam, ordiarque ab eo quod omnia reliqua continet.

### De mundo. Cap. I.

Princeps PYTHAGORAS complexum vniuersi affecit mundi nomine, propter ordinem qui in eo est. Græca enim vox Kosmos, ordinem ornatumque significat. THALES & eius sectatores, vnum censuerunt esse mundum. DEMOCRITVS, EPICVRVS, & discipulus eorum METRODORVS, infinitos mundos in infinito, secundum omnes circumstantias.

C

EMPEDOCLES Solis conuersione mundum circumscribi ait, hunc q; esse eius finem. SELEVCVS infinitum mundum. DIOGENES Vniuersum infinitum, mundum autem finitum. STOICI discrimen statuunt inter Vniuersum & mundum. Vniuersum enim esse infinitum adiuncto inani, totum mundum seorsim ab inani subsistere.

### De figura. Cap. II.

STOICI globi figuram mundo adsignant, alii turbinis, oui quidam. EPICVRVS, posse mundos esse globosos, posse etiam alia esse figura.

### An mundus animatus sit, & à prouidentia gubernetur. Cap. III.

D

ITA esse, reliqui omnes sentiunt. DEMOCRITVS autem, EPICVRVS, & qui præter hos inane ac atomos introducunt, & animæ expertem mundum faciunt, neq; prouidentia, sed natura quadam bruta administrari aiunt. ARISTOTELES neque animatum totum per omnes partes dicit, neq; sensu, ratione aut mente præditum, neque à prouidentia temperari. Nam cœlestibus quidem hæc omnia adesse, quod orbibus contineantur animatis atq; animalibus. Terrestria autem omnibus istis carere: & ordinem per accidens iis, non per se aut à causa antegressa contingere.

E

### An expers interitus sit mundus. Cap. IV.

PYTHAGORAS & PLATO, mundum à Deo factum arbitrati sunt, & quod ad naturam attinet, obnoxium interitui, quia corporeus, ideoq; sensibus sit expositus: non autem periturum, prouidentia eum & Deo continente. EPICVRVS caducum, quia ortus, vt animal, vt stirpem. XENOPHANES, neque ortum, & sempiternum, ac numquam interiturum. ARISTOTELES partem mundi quæ infra Lunam est, affectionibus obnoxiam, in qua parte etiam terrestria suas patiuntur mutationes.

F

### Vnde alatur mundus. Cap. V.

ARISTOTELES sic: si alitur mundus, etiã peribit. at nullo indiget nutrimẽto: est ergo sempiternus.

PLATO, ipsum mundum sibi mutatione eorum quæ intereunt suppeditare nutrimentum. PHILOLAVS, duplicem esse interitum, vnum igne cœlitus defluente, alterum lunari aqua per reuolutionem aeris effusa: atq; horum exhalationes esse alimentum mundi.

*A quo elemento mundi opificium sit orsus Deus. Cap. VI.*

PHYSICI à terra inchoasse aiunt mundi ortum, tanquam è centro. Est enim centrum globi initio. PYTHAGORAS ab igni, & quinto elemento. EMPEDOCLES primo fuisse secretum ætherem, deinde ignem, post terram, qua nimis in arctum coacta ob impetum circumagitationis, aqua ebullierit: ex hac aerem exhalasse. ac cœlum quidem ex æthere natum, Solem ex igne. reliqua circa terram quæ sunt, condensata coiisse ex reliquis. PLATO ait, visibilem mundum factum ad exemplum eius qui in mente fuit. eius visibilis mundi priorem tempore partem exstitisse animam, post corporea, quę primo ex igni & terra, posteriore loco ex aqua & aere coaluerint. PYTHAGORAS, cũ sint quinq; formæ solidorum corporum (mathematica etiam hæc vocantur,) è cubo ortam ait terram, è pyramide ignem, ex octo basium corpore aerem, è viginti basium forma aquam, è duodecim basium solido globum Vniuersi. Plato in his quoq; Pythagoram imitatur.

*De ordine mundi. Cap. VII.*

PARMENIDES corollas ait esse crebras inter se consertas, vnam ex raro, alteram è denso. his interiectas alias, ex lumine & tenebris mixtas. esse autẽ solidum quidpiam instar muri, quod istas omnes corollas contineat. LEVCIPPVS & DEMOCRITVS mundo in orbem tunicam atque membranam circumtendunt. EPICVRVS quorundam mundorum extrema rara, quorundam densa, & mobilia alia, alia immobilia statuit. PLATO ignem primo loco statuit, proximo ętherem, deinde aerem, post hunc aquam, postremo terram. interdum ætherem igni coniungit. ARISTOTELES primo ætherem omnis exsortem perpessionis, quintum scilicet corpus: deinceps obnoxia motibus, ignem, aerem, aquam, denique terram. Horum cœlestibus motum circularẽ adsignat: inferioribus, quæ quidem leuia sunt, sursum: quæ grauia, deorsum lationem. EMPEDOCLES non perpetuo aut definitis locis reposita elemẽta dicit, sed quoduis in cuiusuis locum succedere.

*Quæ causa sit inclinationis mundo. Cap. VIII.*

DIOGENES, & ANAXAGORAS, postquam mundus constitutus fuit, & è terra produxit animalia, quodammodo inclinatum mundum fortuito censent in austrinas partes: fortassis prouidẽtia sic satagente, vt mundi partes quædam habitari, aliæ non possent, ratione gelus, ardoris, commodæ tẽperiei. EMPEDOCLES aere cedente Solis impetui, septentriones docet declinasse, ita vt partes iis vicinæ in sublime attollerentur, deprimerentur austrinę: atq; hanc inclinationem toti proinde mundo accidisse.

*De eo quod est extra mundum: an id vacuum sit. Cap. IX.*

PYTHAGORICI extra mundum inane esse putant, in quod, & è quo mundus respiret. STOICI

A Πλάτων, αὐτὸν αὑτῷ τὸν κόσμον ἐκ τοῦ φθίνοντος κατὰ μεταβολὴν τὸ τρέφον παρέχεσθαι. Φιλόλαος, διττὴν εἶναι τὴν φθοράν, ποτὲ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, ποτὲ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος· καὶ τούτων εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου.

Ἀπὸ ποίου στοιχείου ἤρξατο κοσμοποιεῖν ὁ θεός. ϛʹ.

Οἱ φυσικοὶ ἀπὸ γῆς ἄρξασθαι φασὶ τὴν γένεσιν τοῦ κόσμου, καθάπερ ἀπὸ κέντρου· ἀρχὴ δὲ σφαίρας τὸ κέντρον. Πυθαγόρας ἀπὸ πυρὸς καὶ τοῦ πέμπτου στοιχείου. Ἐμπεδοκλῆς τὸν μὲν αἰθέρα, πρῶτον διακριθῆναι, δεύτερον δέ, τὸ πῦρ· ἐφ᾽ ᾧ τὴν γῆν. ἐξ ἧς ἄγαν περισφιγγομένης τῇ ῥύμῃ τῆς περιφορᾶς, ἀναβλύσαι τὸ ὕδωρ. ἐξ οὗ θυμιαθῆναι τὸν ἀέρα, καὶ γενέσθαι τὸν μὲν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τὸν δὲ ἥλιον ἐκ πυρός. πιληθῆναι δὲ ἐκ τῶν ἄλλων τὰ περίγεια. Πλάτων τὸν ὁρατὸν κόσμον γεγονέναι πρὸς παράδειγμα τοῦ νοητοῦ κόσμου. τοῦ δὲ ὁρατοῦ κόσμου προτέραν μὲν εἶναι τὴν ψυχήν, μετὰ δὲ ταύτην τὸ σωματοειδές, τὸ ἐκ πυρὸς μὲν καὶ τῆς γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον. Πυθαγόρας, πέντε σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν. Πλάτων δὲ καὶ ἐν τούτοις πυθαγορίζει.

Περὶ τάξεως τοῦ κόσμου. ζʹ.

ΠΑΡΜΕΝΙΔΗΣ στεφάνας εἶναι περιπεπλεγμένας, ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ· μικτὰς δὲ ἀλλήλαις ἐκ φωτὸς καὶ σκότους, μεταξὺ τούτων· καὶ τὸ περιέχον δὲ πάσας, τείχους δίκην στερεὸν ὑπάρχειν. Λεύκιππος καὶ Δημόκριτος χιτῶνα κύκλῳ καὶ ὑμένα περιτείνουσι τῷ κόσμῳ. Ἐπίκουρος ἐνίων μὲν κόσμων ἀραιὸν τὸ πέρας, ἐνίων δὲ πυκνόν. καὶ τούτων τὰ μέν τινα, κινούμενα, τὰ δέ, ἀκίνητα. Πλάτων πῦρ πρῶτον, εἶτα αἰθέρα, μεθ᾽ ὃν ἀέρα, ἐφ᾽ ᾧ ὕδωρ, τελευταίαν δὲ γῆν· ἐνίοτε δὲ τὸν αἰθέρα τῷ πυρὶ συνάπτει. Ἀριστοτέλης πρῶτον μὲν αἰθέρα ἀπαθῆ, πέμπτον δέ τι σῶμα· μεθ᾽ ὃ παθητά, πῦρ, ἀέρα, ὕδωρ· τελευταίαν δὲ γῆν. τούτων δὲ τοῖς μὲν οὐρανίοις ἀποδιδόναι τὴν κυκλικὴν κίνησιν· τῶν δὲ ὑπ᾽ ἐκεῖνα τεταγμένων, τοῖς μὲν κούφοις, τὴν ἄνω· τοῖς δὲ βαρέσι, τὴν κάτω. Ἐμπεδοκλῆς μὴ διὰ παντὸς ἑστῶτας, μηδ᾽ ὡρισμένους τοὺς τόπους τῶν στοιχείων, ἀλλὰ πάντα πως ἀλλήλων μεταλαμβάνειν.

Τίς ἡ αἰτία τοῦ τὸν κόσμον ἐγκεκλίσθαι. ηʹ.

ΔΙΟΓΕΝΗΣ, Ἀναξαγόρας, μετὰ τὸ συστῆναι τὸν κόσμον, καὶ τὰ ζῷα ἐκ τῆς γῆς ἐξαγαγεῖν, ἐγκλιθῆναί πως τὸν κόσμον, ἐκ τοῦ αὐτομάτου ἐς τὸ μεσημβρινὸν αὐτοῦ μέρος· ἴσως ὑπὸ προνοίας, ἵνα ἃ μέν τινα ἀοίκητα γένηται, ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου, κατὰ ψύξιν καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν. Ἐμπεδοκλῆς, τοῦ ἀέρος εἴξαντος τῇ τοῦ ἡλίου ὁρμῇ, ἐγκλιθῆναι τὰς ἄρκτους, καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθ᾽ ὃ καὶ τὸν ὅλον κόσμον.

Περὶ τοῦ ἐκτὸς τοῦ κόσμου, εἰ ἔστι κενόν. θʹ.

Οἱ μὲν ἀπὸ Πυθαγόρου, ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος, καὶ ἐξ οὗ· οἱ δὲ Στωϊκοὶ

εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται τὸ ἄπειρον. Ποσειδώνιος, οὐκ ἄπειρον, ἀλλ' ὅσον αὔταρκες εἰς τὴν διάλυσιν, ἐν τῷ πρώτῳ περὶ κενοῦ. Ἀριστοτέλης ἔλεγεν εἶναι κενόν. Πλάτων, μήτε ἐκτὸς τοῦ κόσμου μήτε ἐντὸς μηδὲν εἶναι κενόν.

### Τίνα δεξιὰ τοῦ κόσμου καὶ τίνα ἀριστερά. ι'.

ΠΥΘΑΓΟΡΑΣ, Πλάτων, Ἀριστοτέλης, δεξιὰ τοῦ κόσμου τὰ ἀνατολικὰ μέρη, ἀφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως· ἀριστερὰ δὲ, τὰ δυτικά. Ἐμπεδοκλῆς δεξιὰ μὲν τὰ κατὰ τὸ θερινὸν τροπικόν· ἀριστερὰ δὲ, τὰ κατὰ τὸν χειμερινόν.

### Περὶ οὐρανοῦ, τίς ἡ τούτου οὐσία. ια'.

ΑΝΑΞΙΜΕΝΗΣ τὴν περιφορὰν τὴν ἐξωτάτω, γηΐνην. Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν, ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα. Ἀριστοτέλης ἐκ πέμπτου σώματος πυρὸς, ἢ ἐκ θερμοῦ καὶ ψυχροῦ μίγματος.

### Περὶ διαιρέσεως οὐρανοῦ, εἰς πόσους κύκλους διαιρεῖται. ιβ'.

ΘΑΛΗΣ, Πυθαγόρας, οἱ ἀπ' αὐτοῦ, μεμερίσθαι τὴν τοῦ παντὸς οὐρανοῦ σφαῖραν εἰς κύκλους πέντε, οὕς τινας προσαγορεύουσι ζώνας. καλεῖται δὲ ὁ μὲν αὐτῶν, ἀρκτικός τε καὶ ἀειφανής· ὁ δὲ, θερινὸς τροπικός· ὁ δὲ ἰσημερινός· ὁ δὲ, χειμερινὸς τροπικός· ὁ δὲ, ἀνταρκτικός τε καὶ ἀφανής. λοξὸς δὲ τοῖς τρισὶ μέσοις ὁ καλούμενος ζῳδιακὸς ὑποβέβληται, παρεπιψαύων τῶν μέσων τριῶν. πάντας δὲ αὐτοὺς ὁ μεσημβρινὸς πρὸς ὀρθὰς ἀπὸ τῶν ἄρκτων ἐπὶ τὸ ἀντίξουν τέμνει. Πυθαγόρας πρῶτος ἐπινενοηκέναι λέγεται τὴν λόξωσιν τοῦ ζῳδιακοῦ κύκλου, ἥν τινα Οἰνοπίδης ὁ Χῖος ὡς ἰδίαν ἐπίνοιαν σφετερίζεται.

### Τίς ἡ οὐσία τῶν ἀστέρων, καὶ πῶς συνεστήκασιν. ιγ'.

ΘΑΛΗΣ γεώδη μὲν, ἔμπυρα δὲ τὰ ἄστρα. Ἐμπεδοκλῆς πύρινα ἐκ τοῦ πυρώδους, ὅπερ ὁ αἰθὴρ ἐν ἑαυτῷ περιέχων ἐξέθλιψε κατὰ τὴν πρώτην διάκρισιν. Ἀναξαγόρας τὸν περικείμενον αἰθέρα, πύρινον μὲν εἶναι κατὰ τὴν οὐσίαν, τῇ δ' εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάζοντα πέτρους ἐκ τῆς γῆς, καὶ καταφλέξαντα τούτους ἠστερικέναι. Διογένης, κισηρώδη τὰ ἄστρα, διαπνοὰς δὲ αὐτὰ νομίζει τοῦ κόσμου. πάλιν δὲ ὁ αὐτὸς ἀφανεῖς μὲν λίθους, πίπτοντας δὲ πολλάκις ἐπὶ τὴν γῆν σβέννυσθαι, καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυροειδῶς κατενεχθέντα ἀστέρα πέτρινον. Ἐμπεδοκλῆς τοὺς μὲν ἀπλανεῖς ἀστέρας συνδεδέσθαι τῷ κρυστάλλῳ, τοὺς δὲ πλανήτας ἀνεῖσθαι. Πλάτων ἐκ μὲν τοῦ πλείστου μέρους, πυρίνους, μετέχοντας δὲ καὶ τῶν ἄλλων στοιχείων κόλλης δίκην. Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων, σβεννυμένων δὲ καθ' ἑκάστην ἡμέραν, ἀναζωπυρεῖν νύκτωρ καθάπερ τοὺς ἄνθρακας. τὰς γὰρ ἀνατολὰς καὶ τὰς δύσεις, ἐξάψεις εἶναι καὶ σβέσεις. Ἡρακλείδης καὶ οἱ Πυθαγόρειοι, ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν, γῆν περιέχοντα, ἀέρα τε καὶ αἰθέρα, ἐν τῷ ἀπείρῳ αἰθέρι. ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς φέρεται· κοσμοποιοῦσι γὰρ ἕκαστον τῶν ἀστέρων. Ἐπίκουρος οὐδὲν ἀπογινώσκει τούτων, ἐχόμενος τοῦ ἐνδεχομένου.

A inane esse, in quod quidem conflagratione sua mundus dissolutum eat. POSIDONIVS non inane, sed quantum dissolutioni sufficiat. in libro primo de Inani. Aristoteles affirmat, nullum esse inane. & tam extra quam intra mundum esse inane, Plato negat.

### *Quæ partes mundi dextræ sint, quæ sinistræ.* Cap. X.

PYTHAGORAS, PLATO, ARISTOTELES, dextras mundi partes faciunt quæ ad ortum sunt, vnde motui initium: sinistras, quæ ad occasum. EMPEDOCLES dextra vocat quæ sunt ad circulum æ-B stiuæ Solis conuersionis, sinistra quæ ad hybernum

### *De cœlo, quæ eius natura.* Cap. XI.

ANAXIMENES dicit rotationem esse extremi orbis. EMPEDOCLES cœlum esse solidum glaciei in modum ab igne ex aere compactum, quod ignitam aeream que naturam in vtroque globi semisse contineat. ARISTOTELES è quinto corpore, igni, vel calidi cum frigido mixtione.

### *In quot orbes cœlum diuidatur.* Cap. XII.

C THALES, PYTHAGORAS, & huius sectatores cœlum in circulos quinque diuidunt, ipsi Zonas, id est, cingula, appellant. Nomina eorum sunt, Septentrionalis, qui semper est conspicuus: solstitii æstiui circulus, Æquinoctialis, brumæ circulus, Arctico oppositus, semper nobis occultatus. Horum tribus mediis substernitur obliquus, singulos attingens, cui signifer seu Zodiacus nomen est. Omnes autem isti à meridiano per septentriones in oppositam ducto partem medii finduntur. Primus PYTHAGORAS inuenisse dicitur signiferi obliquitatem, quam Oenopides Chius tamen vt abs D se excogitatam sibi vindicat.

### *Quæ stellarum natura sit, ac quomodo conflatæ sint.* Cap. XIII.

THALES censuit terrestres quidem esse stellas, sed ignitas interim. EMPEDOCLES igneas, eo ex igne, quem in se continens æther in prima secretione eliserit. ANAXAGORAS ætherem circumfitum ignea quidem esse natura, circumuolutionis autem vehementia abripuisse lapides è terra, eosque adussisse, & sic in stellas conuertisse. Diogenes pumicum instar esse stellas sensit exspirationes mundi exhalantis. idem, lapides quosdam esse qui E nusquam appareant, & sæpe in terram delapsi extinguantur: quomodo ad Ægos potamos sub ignis forma decidit stella saxea. EMPEDOCLES inerrantes stellas crystallo ait alligatas, errones ab eo solutas. PLATO maiori ex parte igneæ naturæ esse stellas, sed ita, vt glutinis loco reliquorum etiam elementorum partes admittant. XENOPHANES nasci ex inflammatis nubibus, quæ quotidie exstinguantur, noctu quauis rursus carbonum instar accendantur. ortus quippe & occasus, nihil esse aliud quam accendi & exstingui. HERACLIDES & PYTHAGOREI quamuis stellam dixerunt esse F mundum in æthere infinito, qui terram, aerem, ætheremque contineat. Hæc opinio etiam in Orphicis perhibetur. nam ORPHEI sectatores singulas stellas esse mundos dicunt. EPICVRVS horum nihil improbat, contingentiæ inhærens.

*De figura stellarum. Cap. XIV.*

STOICI globosas esse stellas, vt mundúque, vt Solē, vt Lunā. CLEANTHES metæ seu turbinis formā. ANAXIMENES clauorū instar infixos esse crystallo. alii laminas esse igneas, tanquam picturas.

*De ordine stellarum. Cap. XV.*

XENOCRATES secundum vnam superficiē stellas moueri autumauit. reliqui Stoici alias aliis esse humiliores atq; altiores. DEMOCRITVS hoc ordine collocat: primo fixas stellas, deinde errones, in quibus Solem, Luciferum, Lunam. PLATO vbi ab inerrantibus abiit, proximam facit stellam Saturni, quæ ei Phæno dicitur, nos fulgidam (puto) possemus: tum Phaethontem, nisi nitentem mauis, qui est Iupiter: ab hoc proximum Pyroenta, id est igneum, stellam Martis: inde Luciferum, qui Veneri tribuitur: quintum Mercurii sidus, quod Stilbon appellat, quasi rutilans. Mathematicorum quidam Platoni subscribunt: alii Solem in medio reponunt. ANAXIMANDER, & METRODORVS, Chius, CRATESque, summum locum Soli deferunt, proximeque Lunam ei subiiciunt: sub his fixa & vaga etiam sidera collocant.

*De latione & motu stellarum. Cap. XVI.*

ANAXAGORAS, DEMOCRITVS, CLEANTHES, ab ortu versus occasum ferri omnes stellas. ALCMÆO & mathematici planetas fixis ex aduerso, hoc est ab occasu ad ortū citari. ANAXIMANDER à circulis & orbibus, quibus quæuis insistit, moueri. ANAXIMENES similiter sub terram ac circa eam ferre stellas. PLATO & mathematici æqualem cursum adsignant Soli, Veneri, ac Mercurio.

*Vnde illuminentur stellæ. Cap. XVII.*

ILLVSTRARI omnes stellas fixas à Sole, ab eoq; suum lumen accipere, METRODORVS dixit. HERACLETVS & STOICI, stellas ali eo quod à terra sursum euaporat. ARISTOTELES, cœlestia non indigere alimento, quia interitui non sint obnoxia. PLATO & STOICI idem stellis atque vniuerso mundo nutrimentum destinant.

*De stellis quæ dicuntur Castores, siue gemini. Cap. XIIX.*

XENOPHANES istas stellas, quæ supra naues apparent, paruas putauit esse nubeculas, ob certum affulgentes motum. METRODORVS micationes esse, à videntium oculis, quos terror & consternatio tenet profectas.

*Quid denuntient stellæ, & quomodo fiant hyems atque æstas. Cap. XIX.*

PLATO indicationes æstatis atq; hyemis fieri Solis, Lunæ, aliarumque fixarum & vagarum stellarum ortu atque occasu percipi tradit. ANAXIMENES ad solum hæc refert Solem. EVDOXVS & ARATVS, omnibus communiter accepta isthęc stellis ferunt. Arati verba subiecimus:

*Ipse hæc altitonans in celso infixit olympo,*
*Et totum prudens distinxit signa per annum,*
*Eximia vt rebus de certis astra monerent.*

*Quæ Solis natura sit. Cap. XX.*

ANAXIMANDER Solem dixit esse circulū, cuius duodetrigesima pars terræ molem æquet: orbita præditum qualis fere est rotis curruum ignis plena, qui quadam ex parte eius effulgeat per orificium, tanquam per fistulæ foramen. eumque ignem esse Solem. XENOPHANES ex igniculis qui

A Περὶ σχήματος ἀστέρων. ιδ'.

ΟΙ Στωϊκοὶ σφαιρικοὺς τοὺς ἀστέρας, καθάπερ τὸν κόσμον καὶ ἥλιον καὶ σελήνην. Κλεάνθης κωνοειδεῖς. Ἀναξιμένης ἥλων δίκην καταπεπηγέναι τῷ κρυσταλλοειδεῖ. ἔνιοι δὲ πέταλα εἶναι πύρινα, ὥσπερ ζωγραφήματα.

Περὶ τάξεως ἀστέρων. ιε'.

ΞΕΝΟΚΡΑΤΗΣ κατὰ μιᾶς ἐπιφανείας οἴεται κινεῖσθαι τοὺς ἀστέρας, οἱ δ᾽ ἄλλοι Στωϊκοὶ πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους ἐν ὕψει καὶ βάθει. Δημόκριτος, τὰ μὲν ἀπλανῆ πρῶτον, μετὰ δὲ ταῦτα τοὺς πλανήτας, ἐφ᾽ οἷς ἥλιον, φωσφόρον, σελήνην.
B Πλάτων μετὰ τὴν τῶν ἀπλανῶν θέσιν, πρῶτον φαίνοντα λεγόμενον, τὸν τοῦ Κρόνου· δεύτερον, φαέθοντα, τὸν τοῦ Διός· τρίτον πυρόεντα, τὸν τοῦ Ἄρεος· τέταρτον, ἑωσφόρον, τὸν τῆς Ἀφροδίτης· πέμπτον, στίλβοντα, τὸν τοῦ Ἑρμοῦ· ἕκτον, ἥλιον· ἕβδομον, σελήνην. τῶν μαθηματικῶν τινὲς μὲν, ὡς Πλάτων, τινὲς δὲ, μέσον πάντων τὸν ἥλιον. Ἀναξίμανδρος, καὶ Μητρόδωρος ὁ Χῖος, καὶ Κράτης, ἀνώτατω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ᾽ αὐτὸν δὲ τὴν σελήνην. ὑπὸ δὲ αὐτοὺς, τὰ ἀπλανῆ τῶν ἄστρων καὶ τοὺς πλανήτας.

Περὶ τῆς τῶν ἀστέρων φορᾶς καὶ κινήσεως· ιϛ'.

C ΑΝΑΞΑΓΟΡΑΣ, Δημόκριτος, Κλεάνθης, ἀπ᾽ ἀνατολῶν ἐπὶ δυσμὰς φέρεσθαι πάντας τοὺς ἀστέρας. Ἀλκμαίων καὶ οἱ μαθηματικοὶ τοὺς πλανήτας τοῖς ἀπλανέσιν ἐναντίους· ἀπὸ γὰρ δυσμῶν ἐπ᾽ ἀνατολὰς ἀντιφέρεσθαι. Ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ᾽ ὧν ἕκαστος βέβηκε, φέρεσθαι. Ἀναξιμένης, ὁμοίως ἐπὶ τὴν γῆν καὶ περὶ αὐτὴν στρέφεσθαι τοὺς ἀστέρας. Πλάτων καὶ οἱ μαθηματικοὶ, ἰσοδρόμους εἶναι, τὸν ἥλιον, τὸν ἑωσφόρον, τὸν στίλβοντα.

Πόθεν φωτίζονται οἱ ἀστέρες. ιζ'.

ΜΗΤΡΟΔΩΡΟΣ ἅπαντας τοὺς ἀπλανεῖς ὑπὸ τοῦ
D ἡλίου προσλάμπεσθαι. Ἡράκλειτος καὶ οἱ Στωϊκοὶ, τρέφεσθαι τοὺς ἀστέρας ἐκ τῆς ἐπιγείου ἀναθυμιάσεως. Ἀριστοτέλης, μὴ δεῖσθαι τὰ οὐράνια τροφῆς· οὐ γὰρ φθαρτὰ, ἀλλ᾽ ἀΐδια. Πλάτων καὶ οἱ Στωϊκοὶ, ὡς ὅλον τὸν κόσμον, καὶ τὰ ἄστρα ἐξ αὐτῶν τρέφεσθαι.

Περὶ τῶν ἀστέρων τῶν καλουμένων Διοσκούρων. ιη'.

ΞΕΝΟΦΑΝΗΣ, τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντα. Μητρόδωρος, τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους καὶ καταπλήξεως εἶναι στιλβηδόνας.

E Περὶ ἐπισημασίας ἀστέρων, καὶ πῶς γίνεται χειμὼν καὶ θέρος. ιθ'.

ΠΛΑΤΩΝ, τὰς ἐπισημασίας τάς τε θερινὰς καὶ τὰς χειμερινὰς κατὰ τὰς τῶν ἀστέρων ἐπιτολάς τε καὶ δυσμὰς γίνεσθαι, ἡλίου τε καὶ σελήνης, καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν. Ἀναξιμένης δὲ, διὰ μὲν ταύτην, μηδὲν τούτων, διὰ δὲ τὸν ἥλιον μόνον. Εὔδοξος, Ἄρατος, κοινῶς διὰ πάντας τοὺς ἀστέρας. ἐν οἷς φησιν,

Αὐτὸς γὰρ τάδε σήματ᾽ ἐν οὐρανῷ ἐστήριξεν,
F Ἄστρα διακρίνας· ἐσκέψατο δ᾽ εἰς ἐνιαυτὸν
Ἀστέρας οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν.

Περὶ οὐσίας ἡλίου. κ'.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ, κύκλον εἶναι ὀκτωκαιεικοσαπλασίονα τῆς γῆς, ἁρματείου τροχοῦ τὴν ἁψῖδα παραπλήσιον ἔχοντα κοίλην, πλήρη πυρός· ἧς κατά τι μέρος ἐκφαινούσης διὰ στομίου τὸ πῦρ, ὥσπερ διὰ πρηστῆρος αὐλοῦ· καὶ τοῦτ᾽ εἶναι τὸν ἥλιον· Ξενοφάνης ἐκ πυριδίων τῶν

συναθροιζομένων μὲν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον ἢ νέφος πεπυρωμένον. οἱ Στωϊκοὶ, ἄναμμα νοερὸν ἐκ θαλάττης. Πλάτων ἐκ πλείστου πυρός. Ἀναξαγόρας, Δημόκριτος, Μητρόδωρος, μύδρον ἢ πέτρον διάπυρον. Ἀριστοτέλης σφαῖραν ἐκ τοῦ πέμπτου σώματος. Φιλόλαος ὁ Πυθαγόρειος, ὑαλοειδῆ, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τὸ φῶς. ὥστε προσεοικέναι ἡλίῳ τὸ ἐν τῷ οὐρανῷ πυρῶδες, τό, τε δι' ἀπ' αὐτοῦ καὶ ἐσοπτροειδές· καὶ τρίτον, τὴν ἀπὸ τοῦ ἐσόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν. καὶ γὰρ ταύτην προσαγορεύομεν ἥλιον, οἱονεὶ εἴδωλον εἰδώλου. Ἐμπεδοκλῆς δύο ἡλίους, τὸν μὲν ἀρχέτυπον, πῦρ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, ἀεὶ κατ' ἀντικρὺ τῇ ἀνταυγείᾳ ἑαυτοῦ τεταγμένον· τὸν δὲ φαινόμενον, ἀνταύγειαν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τῷ τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένῳ, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν ἐγγινομένην εἰς τὸν ἥλιον τὸν κρυσταλλοειδῆ, συμπεριελκομένην δὲ τῇ κινήσει τοῦ πυρίνου. ὡς δὲ βραχέως εἰρῆσθαι συντεμόντα, ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρὸς τὸν ἥλιον. Ἐπίκουρος, γήϊνον πύκνωμα κισηροειδὲς ταῖς κατατρήσεσιν ὑπὸ τοῦ πυρὸς ἀνημμένον.

Περὶ μεγέθους ἡλίου. κα'.

Ἀναξίμανδρος, τὸν μὲν ἥλιον ἴσον τῇ γῇ εἶναι. τὸν δὲ κύκλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει καὶ ἐφ' οὗ φέρεται, ἑπτακαιεικοσαπλασίονα τῆς γῆς. Ἀναξαγόρας πολλαπλασίονα Πελοποννήσου. Ἡράκλειτος εὖρος ποδὸς ἀνθρωπείου. Ἐπίκουρος πάλιν φησὶν ἐνδέχεσθαι τὰ προειρημένα πάντα, ἢ τηλικοῦτον ἡλίκος φαίνεται, μικρῷ μείζων ἢ ἐλάττων.

Περὶ σχήματος ἡλίου. κβ'.

Ἀναξιμένης, πλατὺν ὡς πέταλον τὸν ἥλιον. Ἡράκλειτος σκαφοειδῆ, ὑπόκυρτον. οἱ Στωϊκοὶ σφαιροειδῆ, ὡς τὸν κόσμον καὶ τὰ ἄστρα. Ἐπίκουρος ἐνδέχεσθαι τὰ προειρημένα πάντα.

Περὶ τροπῶν ἡλίου. κγ'.

Ἀναξιμένης, ὑπὸ πεπυκνωμένου ἀέρος καὶ ἀντιτύπου ἐξωθεῖσθαι τὰ ἄστρα. Ἀναξαγόρας, ἀνταπώσει τοῦ πρὸς ταῖς ἄρκτοις ἀέρος, ὃν αὐτὸς συνωθῶν ἐκ τῆς πυκνώσεως ἰσχυροποιεῖ. Ἐμπεδοκλῆς, ὑπὸ τῆς περιεχούσης αὐτὸν σφαίρας κωλυόμενον ἄχρι παντὸς εὐθυπορεῖν, καὶ ὑπὸ τῶν τροπικῶν κύκλων. Διογένης, ὑπὸ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψύχους σβέννυσθαι τὸν ἥλιον. οἱ Στωϊκοὶ, κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς διέρχεσθαι τὸν ἥλιον. ὠκεανὸς δὲ ἐστὶν ἡ γῆ, ἧς τὴν ἀναθυμίασιν ἐπινέμεται. Πλάτων, Πυθαγόρας, Ἀριστοτέλης, παρὰ τὴν λόξωσιν τοῦ ζωδιακοῦ κύκλου, δι' οὗ φέρεται λοξοπορῶν ὁ ἥλιος, καὶ κατὰ δορυφορίαν τῶν τροπικῶν κύκλων. ταῦτα δὲ πάντα καὶ ἡ σφαῖρα δείκνυσιν.

Περὶ ἐκλείψεως ἡλίου. κδ'.

Θαλῆς πρῶτος ἔφη ἐκλείπειν τὸν ἥλιον, τῆς σελήνης αὐτὸν ὑποτρεχούσης κατὰ κάθετον, οὔσης φύσει γεώδους· βλέπεσθαι δὲ τοῦτο κατοπτρικῶς ὑποτιθεμένῳ τῷ δίσκῳ. Ἀναξίμανδρος, τοῦ στομίου τῆς τοῦ πυρὸς διεκπνοῆς ἀποκλειομένου. Ἡράκλειτος, κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφὴν ὥστε τὸ μὲν κοῖλον ἄνω γίνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. Ξενοφάνης, κατὰ σβέσιν· ἕτερον δὲ πάλιν πρὸς ταῖς ἀνατολαῖς γίνεσθαι. παριστόρηκε δὲ καὶ ἔκλειψιν

apparerent, collectis ex humida exhalatione, & Solem cogentibus: aut nubem ignitam. STOICI incendium mente præditum, è mari. PLATO è pluri mo igne. ANAXAGORAS, DEMOCRITVS, METRODORVS, massam aut lapidem igni candētem. ARISTOTELES globum è quinta natura. PHILOLAVS Pythagoreus discum vitreum, qui resplendentiam mundani ignis recipiat, lumenq; ad nos retorqueat: vt Sol videatur ignis in cœlo, qui ad nos quasi speculi reflexione lucem dispergat. quā nos vocamus Solem, tanquam simulacri simulacrum. EMPEDOCLES duos Soles facit. vnum primigenium ignem in altero globi mundi semisse, qui eum semissem impleat, semper ex aduerso situs suæ repercussioni splendoris. alterum in altero semisphærio resplendentiam huius, quod semi sphærium impleatur aere cum calida natura permixto: hanc resplendentiam à rotunditate terræ reflecti in Solem crystallinum, & cum motu ignei elementi circumtrahi, vtque verbo dicam, Solem esse resplendentiam ignis qui est circa terram. EPICVRVS, è terra compactam molem, ac pumicis spongiæve modo pertusam, ab igne accensam.

*De magnitudine Solis. Cap. XXI.*

ANAXIMANDER Solem terræ æqualem esse, circuli autem, à quo erumpit halitu, & in quo fertur, quantitate molem terræ vicies octies cōtineri. ANAXAGORAS multiplici ad Peloponnesum proportione Solem esse. HERACLETVS, latitudine vestigii humani. EPICVRVS rursum ait, posse omnia ista vera esse, aut tantum esse, quantus & qualis videtur, vel maiorem paulo aut minorem.

*De forma Solis. Cap. XXII.*

ANAXIMENES, folii instar latum esse. HERACLETVS scaphæ in formam, subcuruum. STOICI, globi forma, qua & mundus & stellæ. EPICVRVS fieri posse isthæc omnia.

*De conuersionibus Solis. Cap. XXIII.*

ANAXIMENES censuit, astra impelli à cōdensato & renitēte aere. ANAXAGORAS aeris, qui ad septentriones, est impulsione in diuersam partem, quem aerem stipando cogens facit validum. EMPEDOCLES ne in directum semper progrediatur, impediri à continente ipsum globo & à tropicis, hoc est solstitiorum circulis. DIOGENES à frigore calori occurrente exstingui Solem. STOICI secundum interuallum alimenti subiecti progredi Solem. Oceanus autem terra est, cuius vaporem exhalantem depascitur. PLATO, PYTHAGORAS, ARISTOTELES, Solem obliquum cursum conficere aiunt propter signiferi, in quo mouetur, inclinationem, stipati solstitialibus circulis. quæ omnia in sphæra artificio elaborata proponuntur ad spectandum.

*De Solis defectu. Cap. XXIV.*

PRIMVS THALES docuit Solē deficere, quando Luna ad lineam infra eum fertur, quæ natura est terrestri. idq; in speculis cerni, subiici Soli discum Lunæ. ANAXIMANDER obthurato foramine, per quod ignis exspirat. HERACLETVS inuersione corporis Solis (quod scaphę simile eū ponere diximus) ita vt cauū sursū, curuū deorsum versus nostrū visū obuertat. XENOPHANES, exstinctione. rursū autē nasci in ortu alium. Narrationē porro adiecit

de quodam Solis defectu, qui totũ durauerit men sem: & alio perfecto, qui diem in noctẽ mutauerit. Quidam nubium cõdensationem causantur, quę visu non cernente eas disco Solis obducantur. ARISTARCHVS Solem fixis stellis adiungit, Lunam autem moueri ait circum Solis orbẽ, & suis inclinationibus vmbram disco inferre. XENOPHANES multos esse Soles, multas Lunas, secundum terræ diuersa climata, segmenta, ac Zonas. quodam autem tempore Solis discum incidere in quandam terræ portionem à nobis non habitatam, & sic tanquam in vacuum delato deliquium accidere. Idẽ Solem in infinitum progredi: nobis autem videri quod rotetur, ob distantiam.

*De natura Lunæ. Cap. XXV.*

ANAXIMANDER circulũ esse nouendecuplum proportione terræ, itidẽ vt Solem ignis plenum, ac luminis defectum ei accidere ob inuersionẽ rotę. similem enim esse rotæ currus, quæ habeat orbitã concauam igne impletam, vnoq; exspirandi foramine præditam. XENOPHANES, nubẽ esse constipatam. STOICI mixtam ex igni & aere. PLATO maiorem eius partẽ esse terream. ANAXAGORAS, DEMOCRITVS, firmamentum ignitum, quod in se cõtineat planicies, montes, conualles. HERACLETVS terram caliginosa nube contentam. PYTHAGORAS corpus Lunæ igneam sequi naturam.

*De magnitudine Lunæ. Cap. XXVI.*

STOICI eam, sicut & Sol, maiorem terra pronunciant. PARMENIDES æqualem Soli, à quo etiam illuminetur.

*De forma Lunæ. Cap. XXVII.*

STOICIS, vt & Sol, globosa est. EMPEDOCLES disci forma. HERACLETVS scaphę. alii cylindri tribuũt.

*De illuminatione Lunæ. Cap. XXIIX.*

ANAXIMANDER tradit, eam proprium habere lumẽ, sed rarius. ANTIPHO suo fulgore nitere Lunam: qui cum occultatur, fieri hoc appulsu Solis. quia natura sic comparatum sit, vt ignis validior imbecilliorem obscuret: quod idem aliis quoque stellis euenit. THALES, & qui eius sequuntur decreta, à Sole illustrari Lunam. HERACLETVS eodẽ modo affici Lunam, quo Solem. Scaphæ enim figuram esse sideribus hisce, cumq; humidum excipiant vaporem, illustrari sicut videntur. clarius quidem Solem, vt qui in puriore feratur aere, Lunam obscurius, quia in turbidiore.

*De Lunæ defectu. Cap. XXIX.*

ANAXIMANDER, osculo rotæ obstructo. BEROSSVS, obuersa nobis parte ignis experte. HERACLETVS scaphæ inuersione. PYTHAGOREI nonnulli resplendentiam & obstructionẽ profectam à terra, quam antichthonem, quasi oppositam terram dicunt. Recentiores secundum consumtionem ignis ordinate incensi paulatim, donec perfectum plenilunium præstet, ac deinde sensim proportione seruata decrescat vsq; ad coitum, vbi plane exstinguitur. PLATO, ARISTOTELES, STOICI, MATHEMATICI in hoc consentiunt, menstruas occultationes Lunæ obtingere à Sole cum quo coit, & eius radiis obruitur. defici autem lumine, cum in vmbram terræ incidit, vtriusque sideris in medio constitutæ. aut potius cum eius officitur illuminationi à terra.

A ἡλίου ἐφ' ὅλον μῆνα, καὶ πάλιν ἔκλειψιν ἐντελῆ, ὥστε τὴν ἡμέραν νύκτα φανῆναι. ἔνιοι, νεφῶν πύκνωσιν τῶν ἀοράτως ἐπερχομένων τῷ δίσκῳ. Ἀρίσταρχος τὸν ἥλιον ἵστησι μετὰ τῶν ἀπλανῶν, τὴν δὲ γῆν κινεῖ περὶ τὸν ἡλιακὸν κύκλον, καὶ κατὰ τὰς ταύτης ἐγκλίσεις σκιάζεσθαι τὸν δίσκον. Ξενοφάνης, πολλοὺς εἶναι ἡλίους καὶ σελήνας κατὰ κλίμα τῆς γῆς, καὶ ἀποτομὰς καὶ ζώνας· κατὰ δέ τινα καιρὸν ἐμπίπτειν τὸν δίσκον εἴς τινα ἀποτομὴν τῆς γῆς οὐκ οἰκουμένην ὑφ' ὑμῶν, καὶ οὕτως ὥσπερ κενεμβατοῦντα ἔκλειψιν ὑπομένειν. ὁ δ' B αὐτὸς τὸν ἥλιον εἰς ἄπειρον μὲν προϊέναι, δοκεῖν δὲ κυκλεῖσθαι διὰ τὴν ἀπόστασιν.

Περὶ οὐσίας σελήνης. κέ. Περὶ μεγέθους σελήνης. κϛ'.

ἈΝΑΞΙΜΑΝΔΡΟΣ κύκλον εἶναι ἐννεακαιδεκαπλασίονα τῆς γῆς, ὥσπερ τοῦ ἡλίου πλήρη πυρός. ἐκλείπειν δὲ κατὰ τὰς ἐπιστροφὰς τοῦ τροχοῦ· ὅμοιον γὰρ εἶναι ἁρματείῳ τροχῷ κοίλην ἔχοντι τὴν ἀψῖδα καὶ πλήρη πυρός, ἔχοντι μίαν ἐκπνοήν. Ξενοφάνης νέφος εἶναι πεπιλημένον. οἱ Στωϊκοί, μικτὴν ἐκ πυρὸς καὶ ἀέρος. Πλάτων ἐκ πλείονος τοῦ C πυρώδους. Ἀναξαγόρας, Δημόκριτος, στερέωμα διάπυρον, ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη καὶ φάραγγας. Ἡράκλειτος, γῆν ὁμίχλῃ περιειλημμένην. Πυθαγόρας, κατὰ τὸ πυροειδὲς σῶμα σελήνης.

Περὶ σχήματος σελήνης. κζ'.

ΟΙ Στωϊκοὶ μείζονα τῆς γῆς ἀποφαίνονται, ὡς καὶ τὸν ἥλιον. Παρμενίδης, ἴσον τῷ ἡλίῳ, καὶ ἀπ' αὐτοῦ φωτίζεσθαι. οἱ Στωϊκοί, σφαιροειδῆ εἶναι, ὡς τὸν ἥλιον. Ἐμπεδοκλῆς δισκοειδῆ. Ἡράκλειτος, σκαφοειδῆ. ἄλλοι, κυλινδροειδῆ.

Περὶ φωτισμῶν σελήνης. κή.

D ἈΝΑΞΙΜΑΝΔΡΟΣ, ἴδιον αὐτὴν ἔχειν φῶς, ἀραιότερον δέ πως. Ἀντιφῶν, ἰδίῳ φέγγει λάμπειν τὴν σελήνην. τὸ δὲ ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι· πεφυκότος τοῦ ἰσχυροτέρου πυρὸς τὸ ἀσθενέστερον ἀμαυροῦν. ὃ δὴ συμβαίνει καὶ περὶ τὰ ἄλλα ἄστρα. Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ, ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι τὴν σελήνην. Ἡράκλειτος, τὸ αὐτὸ πεπονθέναι τὸν ἥλιον καὶ τὴν σελήνην. σκαφοειδεῖς γὰρ ὄντας τοῖς σχήμασι τοὺς ἀστέρας, δεχομένους δὲ τὰ ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιάσεως, αὐτὰ φωτίζεσθαι πρὸς τὴν φαντασίαν, λαμπρότερον μὲν τὸν E ἥλιον· ἐν καθαρωτέρῳ γὰρ ἀέρι φέρεσθαι, τὴν δὲ σελήνην, ἐν θολερωτέρῳ διὰ τοῦτο καὶ ἀμαυροτέραν φαίνεσθαι.

Περὶ ἐκλείψεως σελήνης. κθ'.

ἈΝΑΞΙΜΕΝΗΣ, τοῦ στομίου τοῦ περὶ τὸν τροχὸν ἐπιφραττομένου. Βηρωσός, κατὰ τὴν πρὸς ἡμᾶς ἐπιστροφὴν τοῦ ἀπυρώτου μέρους. Ἡράκλειτος, κατὰ τὴν τοῦ σκαφοειδοῦς συστροφήν. τῶν Πυθαγορείων τινές, ἀνταύγειαν καὶ ἐπίφραξιν, τὸ μὲν, τῆς γῆς, τὸ δὲ, τῆς ἀντίχθονος. οἱ δὲ νεώτεροι κατ' ἐπινέμησιν φλογὸς κατὰ μικρὸν ἐξαπτομένης F τεταγμένως, ἕως ἂν τὴν τελείαν πανσέληνον ἀποδῷ· καὶ πάλιν ἀναλόγως μειουμένης μέχρι τῆς συνόδου, καθ' ἣν τελείως σβέννυται. Πλάτων, Ἀριστοτέλης, οἱ Στωϊκοί, οἱ μαθηματικοί, συμφώνως τὰς μὲν μηνιαίους ἀποκρύψεις, συνοδεύουσαν αὐτὴν ἡλίῳ, καὶ περιλαμπομένην ποιεῖσθαι, τὰς δὲ ἐκλείψεις εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν, μεταξὺ μὲν ἀμφοτέρων τῶν ἀστέρων γινομένης, μᾶλλον δὲ τῆς σελήνης ἀντιφραττομένης.

A

Περὶ ἐμφάσεως αὐτῆς, διὰ τί γεώδης φαίνεται. λ'.

Οἱ Πυθαγόρειοι γεώδη φαίνεσθαι τὴν σελήνην, διὰ τὸ περιοικεῖσθαι ταύτην, καθάπερ τὴν παρ' ἡμῖν γῆν, μείζοσι ζώοις καὶ φυτοῖς καλλίοσιν. εἶναι γὰρ πεντεκαιδεκαπλασίονα τὰ ἐπ' αὐτῆς ζῶα τῇ δυνάμει, μηδὲν περιττωματικὸν ἀποκρίνοντα καὶ τὴν ἡμέραν τοσαύτην τῷ μήκει. Ἀναξαγόρας, ἀνωμαλότητα διὰ τοῦ συγκρίματος, διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες. παραμεμίχθαι γὰρ τῷ πυροειδεῖ τὸ ζοφῶδες· ὅθεν ψευδοφανῆ λέγεσθαι τὸν ἀστέρα. οἱ Στωϊκοὶ, διὰ τὸ ἑτεροειδὲς τῆς οὐσίας μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα. B

Περὶ ἀποστήματος σελήνης, ὃ ἀφέστηκε τοῦ ἡλίου. λα'.

ΕΜΠΕΔΟΚΛΗΣ διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ τοῦ ἡλίου ἤπερ ἀπὸ τῆς γῆς. οἱ ἀπὸ τῶν μαθηματικῶν, ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης, τὸν ἥλιον ἀπέχειν τῆς γῆς σταδίων μυριάδας ἑβδομήκοντα ὀκτώ.

Περὶ ἐνιαυτῶν, πόσος ἑκάστου τῶν πλανωμένων ὁ μέγας ἐνιαυτός. λβ'.

ΕΝΙΑΥΤΟΣ ἐστὶ Κρόνου μὲν, ἐνιαυτῶν περίοδος λ'· Διὸς δὲ, ιβ'· Ἄρεως, δυεῖν· Ἡλίου, ιβ' μῆνες· οἱ δ' αὐτοὶ C Ἑρμοῦ καὶ Ἀφροδίτης· ἰσόδρομοι γάρ. Σελήνης ἡμέραι λ'. οὗτος γὰρ ὁ τέλειος μὴν ἀπὸ φαύσεως εἰς σύνοδον. τὸν δὲ μέγαν ἐνιαυτὸν οἱ μὲν ἐν τῇ ὀκταετηρίδι τίθενται, οἱ δὲ ἐν τῇ ἐννεακαιδεκαετηρίδι, οἱ δὲ ἐν τοῖς ἑξήκοντα ἑνὸς δέουσιν. Ἡράκλειτος, ἐκ μυρίων ὀκτακισχιλίων ἡλιακῶν. Διογένης, ἐκ πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ἐνιαυτῶν τοσούτων ὅσων ὁ κατὰ Ἡράκλειτον ἐνιαυτός· ἄλλοι δὲ δι' ἑπτακισχιλίων, ψοζ'.

*De aspectu Lunæ, & cur terrestris videatur. Cap. XXX.*

PYTHAGOREI aiunt terrestrem videri, quia, sic ut & nostra terra, circumhabitatur, à maioribus quidem & pulcrioribus animalibus, quinquies decies nostrorum quantitatem cõtinentibus, neq; vllum excrementum deiicientibus: tanta itẽ diei longitudine. ANAXAGORAS causam inęqualitatis arcessit à concretione frigidiorum & terrestrium: admixtas enim esse igneis partes caliginosas. itaq; Lunam dici falso vultu apparentem. STOICI ob diuersarum formarum concretionem negant eius naturæ compagem esse interitus securam.

*Quanto interuallo Luna à Sole absit. Cap. XXXI.*

EMPEDOCLES duplam Lunæ à Sole distantiam esse eius, quæ Lunæ à terra est. Mathematici octodecuplam. ERATOSTHENES Solem à terra dissitũ stadiorum millibus octingenties millibus ac quater: Lunam autem à terra millibus septingentis octoginta.

*Quantus cuique planetarum sit suæ circumitionis annus. Cap. XXXII.*

SATVRNVS ambitum cœli suum conficit annis Solaribus xxx. Iupiter XII. Mars duobus. Sol mẽsibus XII. totidẽ Mercurius & Venus: (nam æquales his cursus) Luna xxx. diebus. hic enim est perfectus mensis ab apparitione Lunæ ad cõgressum cum Sole. Magnum annum alii octẽnio definiũt, alii XIX. annis, alii LIX. HERACLETVS annorum Solariũ millibus octodecim. DIOGENES CCCLXV. annis tantis, quantus vnus est Heracleto. Alii VII CIↃ IↃCCCLXXVII.

D

## ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις.

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΠΕΡΙΩΔΕΥΚΩΣ ἐν τοῖς προτέροις ἐν ἐπιτομῇ τὸν περὶ τῶν οὐρανίων λόγον, (σελήνη δ' αὐτῶν τὸ μεθόριον) τρέψομαι ἐν τῷ τρίτῳ περὶ τὰ μετάρσια· E ταῦτα δ' ἐστὶ τὰ ἀπὸ τοῦ κύκλου τῆς σελήνης καθήκοντα μέχρι πρὸς τὴν θέσιν τῆς γῆς, ἣν κέντρου τάξιν ἐπέχειν τῇ περιοχῇ τῆς σφαίρας νενομίκασιν. ἄρξομαι δ' ἐντεῦθεν.

Περὶ γαλαξίου κύκλου. α'.

ΚΥΚΛΟΣ ἐστὶ νεφελοειδὴς, ἐν μὲν τῷ ἀέρι διαπαντὸς φαινόμενος, διὰ δὲ τὴν λευκόχροιαν γαλαξίας ὀνομαζόμενος· τῶν Πυθαγορείων οἱ μὲν ἔφασαν, ἀστέρος εἶναι διάκαυσιν, ἐκπεσόντος μὲν ἀπὸ τῆς ἰδίας ἕδρας, δι' οὗ δὲ ἐπέδραμε χωρίου κυκλοτερῶς αὐτὸ καταφλέξαντος, F ἐπὶ τοῦ κατὰ Φαέθοντα ἐμπρησμοῦ. οἱ δὲ τὸν ἡλιακὸν ταύτῃ φασὶ κατ' ἀρχὰς γεγονέναι δρόμον. τινὲς δὲ, κατοπτρικὴν εἶναι φαντασίαν, τοῦ ἡλίου τὰς αὐγὰς πρὸς τὸν οὐρανὸν ἀνακλῶντος. ὅπερ καὶ ἐπὶ τῆς ἴριδος καὶ ἐπὶ τῶν νεφῶν συμβαίνει. Μητρόδωρος, διὰ τὴν πάροδον τοῦ ἡλίου· τοῦτον γὰρ εἶναι τὸν ἡλιακὸν κύκλον. Παρμενίδης, τὸ τοῦ πυκνοῦ καὶ ἀραιοῦ μίγμα γαλακτοειδὲς ἀποτελέσαι χρῶμα.

## PLVTARCHI DE PLACITIS philosophorum, hoc est breuis recensionis sententiarum de natura rerum,

## LIBER III.

PRęcedentibus libris cõpendio percurri cœlestium rerum enarrationem, quarum vltimo loco Luna est, hoc tertio libro ad ea me cõfero, quę infra eã in sublimi sunt, ac Meteora, p̃inde Græcis dicuntur: sita à Lunæ orbe vsque ad terræ positum: quam centri locum in Vniuerso censuerunt obtinere.

*De lacteo circulo. Cap. I.*

ORDIAR à lacteo circulo. is nebulosus est, semperq; in aere cernitur, & ob albedinem coloris lacteus dicitur. PYTHAGOREORVM alii dixerũt stellæ ardore effectum, quæ suo loco delapsa tẽpore incẽdii à Phaethõte excitati, quidquid loci circulari decursu peragrauit, adusserit. Alii Solis cursũ initio hac fuisse. Quidam speculare visum esse putãt, splendore Solis in cœlum reflectente, quod idẽ in iride fit & nubibus. METRODORVS, ob transitum Solis: hũc enim esse Solis circulũ. PARMENIDES, dẽsi ac rari mixtione lacteum colorẽ confici.

ANAXAGORAS vmbram terræ ea in parte cœli insistere, cum Sol infra terram delatus non totum illuminat. DEMOCRITVS splendoris collectionē & densationem, à multis, iisq; paruis & continentibus stellis collucētibus profecti. ARISTOTELES incendium vaporis sicci, multiq; & continui: itaque crinitum etiam ignem fieri infra ætherem, sub planetis. POSIDONIVS ignis compagem, stella clariorem, splendore densiorem.

*De cometis, traiicientibus, ac trabibus. Cap. II.*

PYTHAGOREORVM quidam cometam putant esse stellam ex earum numero, quæ nō semper videantur, sed stato tēpore sua reuolutione exoriantur. Alii reflexionē nostri visus ad Solem: quomodo in speculis quædam apparent. ANAXAGORAS, DEMOCRITVS, coitum stellarum duarum aut plurium fulgorem suum coniungentium. ARISTOTELES igneam coagmētationem ex vapore sicco enatam. STRATO lumen sideris nube comprehēsum densa, sicut fit in lucernis. HERACLIDES Ponticus nubem in sublimi à sublimi lumine illustratam. eandem etiam pogoniæ, hoc est barbatę stellę, causam adsignat. ab his trabiformem, columnarem, aliasq; cognatas harum impressiones differre itidem, vt Peripatetici, statuit pro ratione figuræ in quam nubes conformatur. EPIGENES elationē in sublime spiritus terra permixti & accensi. BOETHVS imaginem ab aere soluto oblatā. DIOGENI visum fuit, crinitas istas apparitiones, qui cometę dicuntur, esse stellas. ANAXAGORAS diattontas, hoc est ignes traiicientes ab æthere scintillarum instar deferri: quæ etiam causa sit, quod statim extinguuntur. METRODORVS, elici scintillas violenta solis in nubem impressione. XENOPHANES, omnia id genus compactum aliquid aut motum esse nubium ignitarum.

*De tonitrubus fulguribus, fulminibus, presteribus, typhonibus. Cap. III.*

ANAXIMANDER ista omnia gigni ab aere. Cum enim is densa comprehensus nube vi erumpit ob suam partium tenuitatem ac leuitatem, ruptura sonitum edi: diuulsione iuxta nigredinem nubis, fulgorem. METRODORVS cum in nubem crassicie concretam ventus incidit, eū perfractione nubis sonitum edere. ictu autem & scissione fulgorem. celeritate autē motus calorem à Sole sumere, & fulmen iacere. fulminis imbecillitatē in presterem, hoc est ignitam procellam, abire. ANAXAGORAS, quando calidum in frigidum incidit, scilicet ætherea pars in aeream, eam fragore tonitru edere, colore autem qui est ad nigredinē nebulosæ partis fulgorem, multitudine autē ac magnitudine luminis fulmen: igni autem corpulentiore typhonē, hoc est vorticem, nebuloso presterem efficere. STOICI tonitru collisionem nubiū, fulgorem ortum ex ea incendium, fulmen fulgorē, vehementiorē, presterē languidiorē. ARISTOTELES hoc quoq; fieri è sicca exhalatione docet. quę cū in humidum illapsa vaporem vi exitū sibi conficit, allisione & perruptione tonitrus sonitum nasci, sicci autem accensione fulgur. presteres & typhones multiplicatione materiæ, quam vtriq; attrahunt, calidiorem prester, crassiorem typho.

A Ἀναξαγόρας, τὴν σκιὰν τῆς γῆς κατὰ τοῦτο τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν ὑπὸ τὴν γῆν ὁ ἥλιος γινόμενος μὴ πάντα φωτίζῃ. Δημόκριτος, πολλῶν καὶ μικρῶν καὶ συνεχῶν ἀστέρων συμφωτιζομένων ἀλλήλοις συναυγασμὸν, διὰ τὴν πύκνωσιν. Ἀριστοτέλης, ἀναθυμιάσεως ξηρᾶς ἔξαψιν, πολλῆς τε καὶ συνεχοῦς, καὶ οὕτω κόμην πυρὸς ὑπὸ τὸν αἰθέρα, κατωτέρω τῶν πλανητῶν. Ποσειδώνιος, πυρὸς σύστασιν ἄστρου μὲν λαμπρότερον, αὐγῆς δὲ πυκνότερον.

Περὶ κομητῶν καὶ διαττόντων, καὶ δοκίδων. β'.

B ΤΩΝ ἀπὸ Πυθαγόρου τινὲς μὲν ἀστέρα φασὶν εἶναι τὸν κομήτην τῶν οὐκ ἀεὶ φαινομένων, διά τινος δὲ ὡρισμένου χρόνου περιοδικῶς ἀνατελλόντων· ἄλλοι δὲ, ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον, παραπλησίως ταῖς κατοπτρικαῖς ἐμφάσεσιν. Ἀναξαγόρας, Δημόκριτος, σύνοδον ἀστέρων δυεῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Ἀριστοτέλης, τὴν ἐκ τῆς ξηρᾶς ἀναθυμιάσεως διάπυρον σύστασιν. Στράτων, ἄστρου φῶς περιληφθὲν νέφει πυκνῷ, καθάπερ ἐπὶ τῶν λαμπτήρων γίνεται. Ἡρακλείδης ὁ Ποντι-
C κὸς, νέφος μετάρσιον ὑπὸ μεταρσίου φωτὸς καταυγαζόμενον. ὁμοίως δ' αἰτιολογεῖ πωγωνίαν, ἅλω, δοκίδα, κίονα, καὶ τὰ συγγενῆ τούτοις, καθάπερ ἀμέλει πάντες οἱ Περιπατητικοὶ, παρὰ τοὺς τοῦ νέφους ταύτῃ γίνεσθαι σχηματισμούς. Ἐπιγένης, πνεύματος ἀναφορὰν γεωμιγοῦς πεπυρωμένου. Βοηθὸς, ἀέρος ἀνειμένου φαντασίαν. Διογένης, ἀστέρας εἶναι τοὺς κομήτας. Ἀναξαγόρας, τοὺς καλουμένους διάττοντας ἀπὸ τοῦ αἰθέρος σπινθήρων δίκην καταφέρεσθαι, διὸ καὶ παραυτίκα κατασβέννυσθαι. Μητρόδωρος, τὴν εἰς τὰ νέφη τοῦ ἡλίου βιαίαν ἔμπτωσιν σπινθηρίζειν. Ξενοφάνης, πάντα τὰ τοιαῦτα τῶν νεφῶν πεπυρωμένων συστήματα ἢ
D κινήματα.

Περὶ βροντῶν, ἀστραπῶν, κεραυνῶν, πρηστήρων καὶ τυφώνων. γ'.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ, ἐκ τοῦ πνεύματος ταυτὶ πάντα συμβαίνειν· ὅταν γὰρ περιληφθὲν νέφει παχεῖ, βιασάμενον ἐκπέσῃ, τῇ λεπτομερείᾳ καὶ τῇ κουφότητι, τότε ἡ μὲν ῥῆξις τὸν ψόφον, ἡ δὲ διαστολὴ παρὰ τὴν μελανίαν τοῦ νέφους τὸν διαυγασμὸν ἀποτελεῖ. Μητρόδωρος, ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν θραύσει τὸν κτύπον ἀποτελεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυ-
E γάζει. τῇ δὲ ὀξύτητι τῆς φορᾶς προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα, κεραυνοβολεῖ· τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιΐστησιν. Ἀναξαγόρας, ὅταν τὸ θερμὸν εἰς τὸ ψυχρὸν ἐμπέσῃ, (τοῦτο δ' ἐστὶν αἰθέριον μέρος εἰς ἀερῶδες) τῷ μὲν ψόφῳ τὴν βροντὴν ἀποτελεῖ, τῷ δὲ παρὰ τὴν μελανίαν τοῦ νεφώδους χρώματι τὴν ἀστραπὴν, τῷ δὲ πλήθει καὶ μεγέθει τοῦ φωτὸς τὸν κεραυνὸν, τῷ δὲ πολυσωματωτέρῳ πυρὶ τὸν τυφῶνα, τῷ δὲ νεφελοειδεῖ τὸν πρηστῆρα. οἱ Στωϊκοὶ βροντὴν μὲν συγκρουσμὸν νεφῶν, ἀστραπὴν δ' ἔξαψιν ἐκ παρατρίψεως, κεραυνὸν δὲ σφοδροτέραν ἔλλαμψιν,
F πρηστῆρα δὲ νωχελεστέραν. Ἀριστοτέλης, ἐξ ἀναθυμιάσεως καὶ τὰ τοιαῦτα γίνεσθαι τῆς ξηρᾶς. ὅταν οὖν ἐντύχῃ μὲν τῇ ὑγρᾷ, παραβιάζηται δὲ τὴν ἔξοδον, τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον τῆς βροντῆς γίνεσθαι, τῇ δὲ ἐξάψει τῆς ξηρότητος, τὴν ἀστραπήν· πρηστῆρας δὲ καὶ τυφῶνας τῷ πλεονασμῷ τῆς ὕλης ἣν ἑκάτερος αὐτῶν συνεφέλκεται, θερμοτέραν μὲν ὁ πρηστὴρ, παχυτέραν δὲ ὁ τυφών.

Περὶ νεφῶν, ὑετῶν, χιόνων, χαλαζῶν. δ'.

ΑΝΑΞΙΜΕΝΗΣ, νέφη μὲν γίνεσθαι παχυνθέντος ὅτι πλεῖστον τοῦ ἀέρος, μᾶλλον δ' ἐπισυναχθέντος ἐκθλίβεσθαι τοὺς ὄμβρους, χάλαζαν δ', ἐπειδὰν τὸ καταφερόμενον ὕδωρ παγῇ. χάλαζαν δὲ, ὅταν συμπεριληφθῇ τῷ ὑγρῷ πνεύματι. Μητρόδωρος, ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς συνίστασθαι τὰ νέφη. ὁ δὲ Ἐπίκουρος, ἀπὸ τῶν ἀτμῶν. στρογγυλαίνεσθαι δὲ τὴν χάλαζαν καὶ τὸν ὑετὸν ἀπὸ τῆς μακρᾶς καταφορᾶς ὑποπεπλησμένον.

Περὶ ἴριδος. ε'.

ΤΩΝ μεταρσίων παθῶν τὰ μὲν καθ' ὑπόστασιν γίνεται, οἷον ὄμβρος, χάλαζα· τὰ δὲ κατ' ἔμφασιν, ἰδίαν οὐκ ἔχοντα ὑπόστασιν. αὐτίκα γοῦν, πλεόντων ἡμῶν ἡ ἤπειρος κινεῖσθαι δοκεῖ. ἔστιν οὖν κατ' ἔμφασιν ἡ ἶρις. Πλάτων φησὶ Θαύμαντος αὐτὴν γενεαλογῆσαι τοὺς ἀνθρώπους, διὰ τὸ θαυμάσαι ταύτην. Ὅμηρος, Ἠύτε πορφυρέην ἶριν θνητοῖσι τανύσσει. διὸ καὶ ἐμυθεύσαντό τινες αὐτὴν ταύρου κεφαλὴν ἔχουσαν ἀναῤῥοφεῖν τοὺς ποταμούς. πῶς γοῦν γίνεται ἶρις; ὁρῶμεν δὴ κατὰ γραμμὰς ἢ κατ' εὐθείας, ἢ κατὰ καμπύλας, ἢ κατ' ἀνακλωμένας γραμμὰς ἀδήλους, λόγῳ θεωρητὰς καὶ ἀσωμάτους. κατὰ μὲν οὖν εὐθείας ὁρῶμεν τὰ ἐν ἀέρι καὶ τὰ διὰ τῶν λίθων τῶν διαυγῶν καὶ κεράτων. (λεπτομερῆ γὰρ ταῦτα πάντα) καμπύλας δὲ γραμμὰς καθ' ὕδατος βλέπομεν γινομένας· κάμπτεται γὰρ ἡ ὄψις βίᾳ διὰ τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην. διὸ καὶ τὴν κώπην ἐν τῇ θαλάσσῃ μακρόθεν καμπτομένην ὁρῶμεν. τρίτος τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα, ὡς τὰ κατοπτρικά. ἔστιν οὖν τὸ τῆς ἴριδος πάθος τοιοῦτον. δεῖ γὰρ ἐπινοῆσαι τὴν ὑγρὰν ἀναθυμίασιν εἰς νέφος μεταβάλλουσαν, εἶτα ἐκ τοῦ κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας νοτιζούσας. ὅταν οὖν ὁ ἥλιος γένηται εἰς δυσμὰς, ἀνάγκη πᾶσαν ἶριν ἄντικρυς ἡλίου φαίνεσθαι, ὅτε ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥστε γίνεσθαι τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες, οὐ σχήματος μορφὴ, ἀλλὰ χρώματος· καὶ ἔχει τὸ μὲν πρῶτον φοινικοῦν, τὸ δὲ δεύτερον, ἁλουργὲς καὶ πορφυροῦν· τὸ δὲ τρίτον, κυάνεον καὶ πράσινον. μήποτε οὖν τὸ μὲν φοινίκεον, ὅτι ἡ λαμπρότης τοῦ ἡλίου προσπεσοῦσα, καὶ ἡ ἀκραιφνὴς λαμπηδὼν ἀνακλωμένη, ἐρυθρὸν ποιεῖ καὶ φοινικοῦν τὸ χρῶμα. τὸ δὲ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας, ἁλουργές· ἄνεσις γὰρ τοῦ ἐρυθροῦ τοῦτο. ἔτι δὲ πάλιν ἐπιθολούμενον τὸ διεῖργον εἰς τὸ πράσινον μεταβάλλει. ἔστιν οὖν τοῦτο δοκιμάσαι δι' ἔργων. εἰ γάρ τις ἀντικρὺ τῶν ἡλίου ἀκτίνων λάβῃ ὕδωρ καὶ πιτύσῃ, αἱ δὲ ῥανίδες ἀνάκλασιν πρὸς τὸν ἥλιον λάβωσιν, εὑρήσει γινομένην ἶριν. καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν. Ἀναξιμένης ἶριν γίνεσθαι κατ' αὐγασμὸν ἡλίου πρὸς νέφει πυκνῷ καὶ παχεῖ καὶ μέλανι, παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας εἰς τὸ πέραν διακόψαι ἐπισυνισταμένας αὐτῷ. Ἀναξαγόρας ἀνάκλασιν ἀπὸ νέφους πυκνοῦ τῆς ἡλιακῆς περιφεγγείας, καταντικρὺ δὲ τοῦ κατοπτρίζοντος αὐτὸν ἀστέρος διαπαντὸς ἵστασθαι. παραπλησίως δὲ φυσιολογεῖται τὰ καλούμενα παρήλια, γινόμενα δὲ κατὰ τὸν Πόντον. Μητρόδωρος, ὅταν διὰ νεφῶν ἥλιος διαλάμψῃ, τὸ μὲν νέφος κυανίζειν, τὴν δ' αὐγὴν ἐρυθραίνεσθαι.

Περὶ ῥάβδων. ς'.

ΤΑ κατὰ τὰς ῥάβδους καὶ ἀνθηλίους συμβαίνοντα, μίξει τῆς ὑποστάσεως καὶ ἐμφάσεως ὑπάρχειν, τῶν

A *De nubibus, pluuiis, niue, grandine. Cap. IV.*

ANAXIMENES, nubes exſiſtere aere quam maxime denſato, quę cum magis comprimantur, pluuiam elici: niuem, quando aqua delabens congelatur: grandinem, ſi humido vento comprehendatur. METRODORVS humido vapore ſurſum elato coire nubes. EPICVRVS ex exhalationibus teretem vero grandinem fieri & pluuiam ob delapſus longinquitatem.

*De iride, qui eſt arcus cœleſtis. Cap. V.*

QVæ in ſublimi fiunt, partim per ſe ſubſiſtũt, vt pluuia, vt grando: partim videntur duntaxat eſſe, B cum nõ ſubſiſtant, quomodo moueri terra nobis nauigantibus videtur. Iris quoque tantum ſpecies apparens eſt. PLATO ait, homines ei Thaumantē patrem feciſſe, quod eam admirarentur. admirari thaumazein Græcis eſt. HOMERVS:

*Vt cum purpuream pangit mortalibus irim.*

Ideoq; fabulati ſunt quidam, capite eā tauri prędităm exhaurire flumina. Quomodo ergo fit iris? Videmus aut ſecundũ recta lineam, aut ſecundũ curuam, aut ſecundum reflexam, quæ ſenſui occulta & corporis expers ſola ratione percipitur. Rectis lineis cernimus quæ in aere ſunt, & per lapides pel- C lucidos ac cornua: omnia n. iſta tenuium ſũt partium. Linea autē viſus incuruatur in aqua, vi craſſiciei eius. itaq; remum in mari eminus cernētes, fractum putamus. Tertius modus vidēdi refracta, vt quæ in ſpeculis contēplamur. ac talis eſt iridis ſpecies. Intelligēdum n. eſt humidũ vaporē in nubē mutari, quæ deinde ſenſim in guttulas diſſoluatur. Sole itaq; ad occaſum accedēte, neceſſe eſt ex aduerſo Solis omnē arcum cœleſtem apparere, cũ viſus guttulis incidens reflectitur, vt iris fiat. Sũt autē ſtillæ iſtæ nõ figurę forma, ſed coloris. Habet autē iris colores, primum puniceum, ſecundum purpureum, tertium cœruleũ & viridē. Cauſæ videntur, quod ſplendor ſolis occurrens, fulgorq; D integer refractus, rubrum ac puniceum parit colorē. Secunda autē pars turbidior, ſplendore ob guttas elangueſcēte, purpureum: qui rubri coloris eſt imminutio. cumq; adhuc turbidius fit obiectũ, in viridem tranſit. Hos ipſis rebus probare licet. Si quis enim è regione radiorum Solis aquã exſpuat, ita vt guttulæ refractionem radiorum Solis excipiant, inueniet iridem fieri. quin & ex oculis laborantes hoc experiuntur, cum in lucernam intuentur. ANAXIMENES iridem fieri Sole illuminante nubem dēſam, craſſam, ac nigram, in qua cogan- E tur Solis radii, cum nõ poſſint vltra eam penetrare. ANAXAGORAS, Solis ſplendorem reflecti in nube denſa, ſemper e regione aſtri poſita, quod in ea tanquam ſpeculo exprimitur. Hoc modo etiam cauſa explicatur pareliorum, qui ſunt, cum plures ſoles apparent, vt fit in Ponto. METRODORVS ait, cum Solis ſplendor nubem penetrat, nubem cœruleo colore apparere, ſplendorem rubro.

*De Virgis. Cap. VI.*

HAS & Soles Soli oppoſitos aiunt mixtũ habere quippiam ex ſubſtantia & apparitione: quod

nubes videantur, non suo tamen colore, sed alio qui visui exhibetur. In his omnibus similes affectiones accidunt & naturæ, & iis quæ in rebus naturalibus contingunt.

*De ventis. Cap. VII.*

ANAXIMANDER ventum esse fluxionem aeris, motis in eo à Sole aut colliquatis partibus tenuissimis humidissimisq;. STOICI omnem ventum esse fluxum, sed nomina mutare pro locorum rationibus. vt à Zopho, id est, caligine, & occasu Zephyrũ, qui nobis est Fauonius: à Sole & ortu Subsolanum, à septentrione Aquilonem, à meridie Africum. METRODORVS, aqueæ exhalationis incendium à Sole factum, excitare diuinos flatus. Etesias, qui sunt venti anniuersarii, spirare aere qui ad septentriones est, densato, vna cum Sole qui à solstitio æstiuo à nostris recedere incipit partibus, se prorumpentes.

*De hyeme & æstate. Cap. VIII.*

EMPEDOCLES & STOICI hyemem fieri, cum aer sua densitate obtinet & sursum vi eluctatur: æstatem, igni deorsum vi tendente. Sed sublimibus descriptis, ad ea me conferam explicanda, quę pone terram sunt.

*De terra, tum quæ natura eius, quæ quantitas. Cap. IX.*

THALES statuit, vnicam esse terram. OECETES Pythagoreus, duas: nostram, & ei oppositam quam antichthona vocat. STOICI terram vnicam & finitam. XENOPHANES ex inferiori parte radices eam egisse in infinitam profunditatem, compactam autem esse ex aere & igne. METRODORVS terram esse fæcem ac subsedimentum aquæ, Solem aeris.

*De figura terræ. Cap. X.*

THALES, STOICI, & qui hos sequũtur, globi forma. ANAXIMANDER planæ columnæ lapideæ. ANAXIMENES mensæ. LEVCIPPVS tympani. DEMOCRITVS disci in superficie, in medio cauam.

*De terræ situ. Cap. XI.*

QVI THALETEM sequuntur, in medio terram collocant. XENOPHANES primum assignat locum, quod radices egerit in altitudinem infinitam. PHILOLAVS Pythagoricus, igni medium defert locum, quod sit quasi focus Vniuersi: secundum antichthoni: tertium ei in qua nos degimus terræ, sitæ ex aduerso, & contrario motu circumuertenti: vnde fiat vt qui in vna sunt terra, ab iis qui constituti in altera sunt, non cernantur. Princeps PARMENIDES terræ habitata loca discreuit à duabus sub solstitialibus circulis quæ iacent Zonis.

*De inclinatione terræ. Cap. XII.*

LEVCIPPVS terram in partes austrinas prolabi putat ob istarum raritatem: quippe ob gelu concretis partibus ad septentrionem vergentibus, dum oppositę interim ardent. DEMOCRITVS, quia ambitus pars austrina sit imbecillior, ideo terram mole auctam eo declinare. Partes enim septentrionales inæqualiter, meridionales æqualiter esse temperatas. eo itaque inclinasse terram, vbi frugibus & incrementis abunde suppeditat materia.

A μὲν νεφῶν ὁρωμένων, οὐ καθ' οἰκεῖον δὲ χρῶμα, ἀλλ' ἕτερον ὅπερ κατὰ τὴν ἔμφασιν φαίνεται. ἐν δὲ τούτοις πᾶσιν, τά τε κατὰ φύσιν καὶ κατὰ ἐπίκτησιν ὅμοια συμβαίνει πάθη.

Περὶ ἀνέμων. ζ'.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ, ἄνεμον εἶναι ῥύσιν ἀέρος, τῶν λεπτοτάτων ἐν αὐτῷ καὶ ὑγροτάτων ὑπὸ τοῦ ἡλίου κινουμένων ἢ τηκομένων. οἱ Στωϊκοὶ πᾶν πνεῦμα ἀέρος εἶναι ῥύσιν. ταῖς τῶν τόπων δὲ παραλλαγαῖς τὰς ἐπωνυμίας παραλλάττουσιν· οἷον, ἀπὸ τοῦ ζόφου καὶ τῆς δύσεως, ζέφυρον· ἀπὸ τῆς
B ἀνατολῆς καὶ τοῦ ἡλίου, ἀπηλιώτην· τὸν δὲ ἀπὸ τῶν ἄρκτων, εἶναι βορέαν· τὸν δὲ ἀπὸ τῶν νοτίων, λίβα. Μητρόδωρος, ὑδατώδους ἀναθυμιάσεως διὰ τὴν ἡλιακὴν ἔκκαυσιν γίνεσθαι ὁρμὴν πνευμάτων θείων. τοὺς δὲ ἐτησίας πνεῖν, τοῦ πρὸς τοῖς ἄρκτοις παχυνθέντος ἀέρος, ὑποχωροῦντι τῷ ἡλίῳ κατὰ τὴν θερινὴν τροπὴν ἐπισυρρέοντας.

Περὶ χειμῶνος καὶ θέρους. η'.

ΕΜΠΕΔΟΚΛΗΣ, καὶ οἱ Στωϊκοὶ χειμῶνα μὲν γίνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει καὶ εἰς τὸ ἀνώτερω βιαζομένου· θερείαν δὲ, τοῦ πυρὸς, ὅταν εἰς τὸ κατωτέρω βιά-
C ζηται. Περιγεγραμμένων δέ μοι τῶν μεταρσίων, ἐφοδευθήσεται καὶ τὰ πρόσγεια.

Περὶ γῆς, καὶ τίς ἡ οὐσία αὐτῆς καὶ πόση. θ'.

ΘΑΛΗΣ καὶ οἱ ἀπ' αὐτοῦ, μίαν εἶναι τὴν γῆν. Οἰκέτης ὁ Πυθαγόρειος, δύο, ταύτην καὶ τὴν ἀντίχθονα. οἱ Στωϊκοὶ τὴν γῆν, μίαν καὶ πεπερασμένην. Ξενοφάνης, ἐκ τοῦ κατωτέρου μέρους, εἰς ἄπειρον βάθος ἐρριζῶσθαι, ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι. Μητρόδωρος, τὴν μὲν γῆν ὑπόστασιν εἶναι καὶ τρύγα τοῦ ὕδατος· τὸν δὲ ἥλιον, τοῦ ἀέρος.

D Περὶ σχήματος γῆς. ι'.

ΘΑΛΗΣ, καὶ οἱ Στωϊκοὶ, καὶ οἱ ἀπ' αὐτῶν, σφαιροειδῆ τὴν γῆν. Ἀναξίμανδρος λίθῳ κίονι τὴν γῆν προσφερῆ τῶν ἐπιπέδων. Ἀναξιμένης, τραπεζοειδῆ· Λεύκιππος, τυμπανοειδῆ. Δημόκριτος, δισκοειδῆ μὲν τῷ πλάτει, κοίλην δὲ τὸ μέσον.

Περὶ θέσεως γῆς. ια'.

Οἱ ἀπὸ Θάλεω, τὴν γῆν μέσην. Ξενοφάνης πρώτην εἰς ἄπειρον ἐρριζῶσθαι. Φιλόλαος ὁ Πυθαγόρειος, τὸ μὲν πῦρ μέσον (τοῦτο γάρ εἶναι τοῦ παντὸς ἑστίαν) δευτέραν δὲ
E τὴν ἀντίχθονα· τρίτην δὲ ἣν οἰκοῦμεν γῆν ἐξ ἐναντίας κειμένην τε καὶ περιφερομένην τῇ ἀντίχθονι. παρ' ὃ καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῶν ἐν τῇδε τοὺς ἐν ἐκείνῃ. Παρμενίδης πρῶτος ἀφώρισε τῆς γῆς τοὺς οἰκουμένους τόπους ὑπὸ ταῖς δυσὶ ζώναις ταῖς τροπικαῖς.

Περὶ ἐγκλίσεως γῆς. ιβ'.

ΛΕΥΚΙΠΠΟΣ παρεκπεσεῖν τὴν γῆν εἰς τὰ μεσημβρινὰ μέρη, διὰ τὴν ἐν τοῖς μεσημβρινοῖς ἀραιότητα, ἅτε δὴ πεπηγότων τῶν βορείων, διὰ τὸ κατεψῦχθαι τοῖς κρυμοῖς, τῶν δὲ ἀντιθέτων πεπυρωμένων. Δημόκριτος, διὰ τὸ ἀσθενέστερον εἶναι τὸ
F μεσημβρινὸν τοῦ περιέχοντος, αὐξομένην τὴν γῆν κατὰ τοῦτο ἐγκλιθῆναι· τὰ γὰρ βόρεια ἄκρατα, τὰ δὲ μεσημβρινὰ κέκραται. ὅθεν κατὰ τοῦτο βεβάρηται, ὅπου περισσή ἐστι τοῖς καρποῖς καὶ τῇ αὐξήσει.

Περὶ κινήσεως γῆς. ιγ'.

Οἱ μὲν ἄλλοι, μένειν τὴν γῆν. Φιλόλαος δὲ ὁ Πυθαγόρειος, κύκλῳ περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλου λοξοῦ, ὁμοιοτρόπως ἡλίῳ καὶ σελήνῃ. Ἡρακλείδης ὁ Ποντικὸς καὶ Ἔκφαντος ὁ Πυθαγόρειος κινοῦσι μὲν τὴν γῆν, οὐ μήν γε μεταβατικῶς, τροχοῦ δίκην ἐνζωνισμένην ἀπὸ δυσμῶν ἐπ᾽ ἀνατολὰς, τὴν δ᾽ ἴδιον αὐτῆς κέντρον. κατ᾽ ἀρχὰς μὲν πλάζεσθαι τὴν γῆν φησὶν ὁ Δημόκριτος, διά τε μικρότητα καὶ κουφότητα, πυκνωθεῖσαν δὲ τῷ χρόνῳ καὶ βαρυνθεῖσαν καταστῆναι.

Περὶ διαιρέσεως γῆς, πόσαι αὐτῆς εἰσὶ ζῶναι. ιδ'.

ΠΥΘΑΓΟΡΑΣ τὴν γῆν ἀναλόγως τῇ τοῦ παντὸς οὐρανοῦ σφαίρᾳ διῃρῆσθαι εἰς πέντε ζώνας, ἀρκτικὴν, θερινὴν, χειμερινὴν, ἰσημερινὴν, ἀνταρκτικήν· ὧν ἡ μέση τὸ μέσον τῆς γῆς ὁρίζει, παρ᾽ αὐτὸ τοῦτο διακεκαυμένη καλουμένη. ἡ δὲ, οἰκητήριόν ἐστιν, ἡ μέση τῆς θερινῆς καὶ χειμερινῆς, εὔκρατός τις οὖσα.

Περὶ σεισμῶν γῆς. ιε'.

ΘΑΛΗΣ μὲν καὶ Δημόκριτος ὕδατι τὴν αἰτίαν τῶν σεισμῶν προσάπτουσιν· οἱ δὲ Στωικοί φασι, Σεισμός, ἐστι τὸ ἐν τῇ γῇ ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπῖπτον. Ἀναξιμένης, ξηρότητα καὶ ἀραιότητα τῆς γῆς, αἰτίαν τῶν σεισμῶν, ὧν τὴν μὲν αὐχμοὶ γεννῶσι, τὴν δὲ ἐπομβρίαι. Ἀναξαγόρας, ἀέρος ἀποδύσει, τῇ μὲν πυκνότητι τῆς ἐπιφανείας προσπίπτοντος, τῷ δὲ ἔκκρισιν λαβεῖν μὴ δύνασθαι, τρόμῳ τὸ περιέχον κραδαίνοντος. Ἀριστοτέλης, διὰ τὴν τοῦ ψυχροῦ πανταχόθεν ἀντιπερίστασιν, κάτωθεν καὶ ἄνωθεν αὐτῇ περιστάντος. τὸ γὰρ θερμὸν ἀνωτέρω γενέσθαι σπεύδει, ἅτε δὴ κοῦφον ὄν· διὰ τοῦτο ἐν ἀπολείψει γινομένης τῆς ξηρᾶς ἀναθυμιάσεως, τῇ σφηνώσει καὶ τοῖς ἀντελιγμοῖς διαταράττεσθαι. Μητρόδωρος, μηδὲν ἐν τῷ οἰκείῳ τόπῳ σῶμα κινεῖσθαι, εἰ μή τις προσώσειεν ἢ καθελκύσειεν κατ᾽ ἐνέργειαν. διὸ μηδὲ τὴν γῆν ἅτε δὴ κειμένην φυσικῶς κινεῖσθαι, τόπους δέ τινας αὐτῆς νοσεῖν τοῖς ἄλλοις. Παρμενίδης, Δημόκριτος, διὰ τὸ πανταχόθεν ἴσον ἀφεστῶσαν μένειν ἐπὶ τῆς ἰσορροπίας, οὐκ ἔχουσαν αἰτίαν δι᾽ ἣν δεῦρο μᾶλλον ἢ ἐκεῖσε ῥέψειεν ἄν· διὰ τοῦτο μόνον μὲν κραδαίνεσθαι, μὴ κινεῖσθαι δέ. Ἀναξιμένης, διὰ τὸ πλάτος ἐποχεῖσθαι τῷ ἀέρι. οἱ δὲ φασὶν, ἐφ᾽ ὕδατος καθάπερ τὰ πλατυσμώδη καὶ σανιδώδη ἐπὶ τῶν ὑδάτων, διὰ τοῦτο κινεῖσθαι. Πλάτων, πάσης μὲν κινήσεως ἓξ εἶναι περιστάσεις, ἄνω, κάτω, ἐπὶ τὰ δεξιὰ καὶ θάτερα, ἔμπροσθεν καὶ ὄπισθεν· κατ᾽ οὐδεμίαν δὲ τούτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι, ἐν τῷ πανταχόθεν κατωτάτην κειμένην, μένειν μὲν ἀκίνητον, μηδὲν ἔχουσαν ἐξαίρετον εἰς τὸ ῥέπειν μᾶλλον, τόπους δ᾽ αὐτῆς κατὰ ἀραιότητα σαλεύεσθαι. Ἐπίκουρος, ἐνδέχεσθαι μὲν ὑπὸ τοῦ πάχους ἀέρος τοῦ ὑποκειμένου, ὑδατώδους ὄντος, ἀνακρουομένην αὐτὴν καὶ οἷον ὑποτυπτομένην κινεῖσθαι, ἐνδέχεσθαι δὲ καὶ συραγγώδη τοῖς κατωτέρω μέρεσι καθεστῶσαν ὑπὸ τοῦ διασπειρομένου πνεύματος εἰς τὰς ἀντροειδεῖς κοιλότητας ἐμπίπτοντος σαλεύεσθαι.

Περὶ θαλάσσης, πῶς συνέστη καὶ πῶς ἐστι πικρά. ιϛ'.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ τὴν θάλασσαν φησὶν εἶναι τῆς πρώτης ὑγρασίας λείψανον, ἧς τὸ μὲν πλεῖον μέρος ἀνεξήρανε τὸ πῦρ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλεν.

A *De motu terræ. Cap. XIII.*

Alii immotam manere terram ſentiunt. PHILOLAVS Pythagoreus, in orbem eam circumferri circum ignem, obliquo circulo, in morem Solis & Lunæ. HERACLIDES Ponticus, & ECPHANTVS Pythagoreus, motum terræ tribuunt: non vt loco ſuo excedat, ſed rotæ inſtar circa axem circumuertatur ab occaſu verſus ortum, circa ſuum centrum. DEMOCRITVS initio effictam fuiſſe terram ob paruitatem & leuitatem: ſucceſſu autem temporis denſatam atq; degrauatam ſubſediſſe.

*In quot Zonas diſtincta ſit terra. Cap. XIV.*

B PYTHAGORÆ opinio eſt, terram eadem qua totius cœli globum proportione in quinq; eſſe diuiſam partes, ſeptentrionalem, æſtiuam, hybernam, æquinoctialem, antarcticam. quarum media terræ mediam regionem definiat, hac ipſa de cauſa nomine aduſtę ſeu torridę prędita. Eā q̃ incoli poteſt, in medio iacere æſtiuæ atq; hybernæ, temperatā.

*De terræ motibus. Cap. XV.*

THALES ac DEMOCRITVS eius rei cauſam aquæ imputant. At STOICI dicunt terræ motum eſſe, cum humor in terra incluſus excernitur, inq; aerem excidit. ANAXIMENES ſiccitatem & raritatem terræ, eius concuſſionis cauſam, quorum illam quidem æſtus, hanc nimiæ pluuiæ gignant. ANAXAGORAS aerem ſe emergere volentē, qui cum ſua craſſicie incidit in terræ ſuperficiē, neq; tamen excerni poteſt, tremore terram continentē ſuccutit. ARISTOTELES propter frigidum terram vndiquaq; circumſtans ſuperne atq; inferne. Calidū enim ob leuitatem ſuam ſurſum nititur: itaq; ſiccā exhalationem ſurſum euadendi via intercluſa, terram, ex qua cuneo quaſi acto eluctari contendit, contrariis inuicem reuolutionibus exagitare. METRODORVS, nullum corpus in ſuo proprio loco moueri, niſi quid ſit à quo impellatur aut detrahatur efficaciter. ita ne terram quidem, vtpote ſuo naturali ſitam loco, moueri, partes duntaxat eius quaſdam alio migrare. PARMENIDES, ac DEMOCRITVS terram vndiq; æqualiter diſtantem, æquilibrioq; ſuſpenſam, quod cauſam non habeat cur huc potius quam illuc vergat, concuti tantum, nō moueri. ANAXIMENES eam ob latitudinem vectari aere cui incumbit. Alii aquæ innatare inſtar platani foliorum aut aſſerum, ideoq; moueri. PLATO motuum ſex circumſtantias perhibet, ſurſum, deorſum, dextrorſum, ſiniſtrorſum, prorſum, retrorſum. horum motuum nullum terræ poſſe accidere, cū vndiquaq; ima ſit, maneatq; immota, quod nihil eximium ſit ob quod in hanc vel illam partē momentum faciat. partes tamē eius raritatis cauſa concuti. EPICVRVS, fieri poſſe vt terra aeris ſubiecti, qui aquoſus eſt, craſſicie impulſa ac quaſi ſuccuſſa moueatur: fieri etiam poſſe vt infimis ſui partibus cauernoſa cum ſit, aere qui per eam diſpergitur in cauitates antrorum ſimiles incidente quaſſetur.

*De mari, quæ eius origo, & qui ſit amarum. Cap. XVI.*

F ANAXIMANDER mare ait primi humoris eſſe reliquias, quarum maior pars ab igni exſiccata, reliquum ob ardorem mutatum ſit. ANAXAGORAS cum humor ab initio ſtagnans à ſolari motu eſſet aduſtus, exhalaſſetq; eius pinguedo,

Ἀναξαγόρας, τοῦ κατ᾽ ἀρχὴν λιμνάζοντος ὑγροῦ περικαέντος ὑπὸ τῆς ἡλιακῆς περιφορᾶς, καὶ τοῦ λιπαροῦ ἐξατμι-

reliquum salsugine & amarore infectum substitisse. EMPEDOCLI mare est sudor terræ, adustę à Sole, eumq; sudorem nimia sui compressione emittentis. ANTIPHON sudorem calidi, à quo excretum est quod superarat humidi, elixando in salsuginem côuersum, quod in quouis fit sudore. METRODORVS quia mare sit percolatū per terram, ideo crassiciem eius participasse: sicut euenit iis quæ per cinerem colantur. PLATONICI aquæ elementaris partem aliam ex aere frigore coactam extitisse dulcem, aliam quæ à terra ex ardore & incendio exhalasset, salsam.

*De causis æstus maris.*
*Cap. XVII.*

ARISTOTELES & HERACLETVS à Sole fieri aiunt, qui plerosq; spiritus moueat, secumque circumducat: quibus incidentibus propellatur mare Atlanticum, intumescatq; & affluxum maris efficiat: iisdemq; desinentibus retro abstrahatur ac recedat, quo pacto resorbeatur mare. PYTHEAS Massiliensis Lunæ implemento affluxum, decremento defluxum fieri. PLATO esse quippiam in sublimi suspēsum, ex cuius foramine seu orificio quodam prorumpat æstus, vicissimq; maria intumescant. TIMÆVS causam imputat fluminibus, quæ ex montibus Gallicis in Atlanticum procurrentia mare, id excursu suo propellant atq; augeant, rursumque subsistentia retrahant atque deminuant. SELEVCVS Mathematicus, ipse quoque motum terræ tribuens, eius reuolutioni ac motui Lunam aduersam ire ait: cumq; ventus qui intra duo ista corpora intercipitur in diuersas partes hoc pacto agitetur, eo in Atlanticum mare incidente hoc quoq; secundum eius motus concitari.

*De area, quæ halos dicitur.*
*Cap. XVIII.*

SIC ea fit. Inter Lunam aut aliud sidus ac visum nostrum aer crassus & nebulosus exstat, in quo cū visus noster reflectitur, ac dilatatur, itaq; ad externam circumferentiam circuli astri pertinet, circulus circa illud esse videtur, qui halos, id est, area, dicitur. videturq; ista apparitio proxime ibi fieri, vbi visus in crassiciem incidit.

# PLVTARCHI DE PLACITIS philosophorum, hoc est, breuis recensionis sententiarum de natura rerum.

## LIBER IV.

CVM peragrauerimus mundi partes, ad ea nunc veniamus, quæ sunt singularia.

*De Nili incremento. Cap. I.*

THALES censet Etesiarum, qui venti Ægypto aduersi spirant, flatu Nili aquas attolli, q̃ ostia ipsius quib. se exonerat maris, obtrusi influxu obthurentur. EVTHYMENES Massiliensis, ex Oceano mariq; externo suapte natura dulci fluuium impleri. ANAXAGORAS niue Æthiopica, quæ hyeme frigens, æstate liquetur. DEMOCRITVS,

A ἀφθέντος, εἰς ἁλυκίδα καὶ πικρίαν τὸ λοιπὸν ὑποστῆναι. Ἐμπεδοκλῆς, ἱδρῶτα τῆς γῆς ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἐπιπόλαιον πλύσιν. Ἀντιφῶν, ἱδρῶτα θερμοῦ, ἐξ οὗ τὸ περιληφθὲν ὑγρὸν ἀπεκρίθη τῷ κατεψῆφθαι, παρακυλίσασα, ὥσπερ ἐπὶ παντὸς ἱδρῶτος συμβαίνει. Μητρόδωρος, διὰ τὸ διηθῆσαν διὰ τῆς γῆς μετειληφέναι τοῦ περὶ αὐτὴν πάχους, καθάπερ τὰ διὰ τῆς τέφρας ὑλιζόμενα. οἱ ἀπὸ Πλάτωνος, τοῦ στοιχειώδους ὕδατος τὸ μὲν ἐξ ἀέρος κατὰ περίψυξιν συνιστάμενον, γλυκὺ γίνεσθαι, τὸ δ᾽ ἀπὸ τῆς κατὰ περίκαυσιν καὶ ἐκπύρωσιν ἀναθυμιώμενον, ἁλμυρόν.

B Πῶς ἀμπώτιδες γίνονται καὶ πλημμύραι. ιζʹ.

ΑΡΙΣΤΟΤΕΛΗΣ, Ἡράκλειτος, ὑπὸ τοῦ ἡλίου. τὰ γὰρ πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ συμπεριφέροντος. ὑφ᾽ ὧν ἐμβαλόντων μὲν, προσωθουμένην ἀνοιδεῖν τὴν Ἀτλαντικὴν θάλασσαν, καὶ παρασκευάζειν τὴν πλημμύραν· καταληγόντων δ᾽ ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωσιν. Πυθέας ὁ Μασσαλιώτης, τῇ πληρώσει τῆς σελήνης τὰς πλημμύρας γίνεσθαι, τῇ δὲ μειώσει τὰς ἀμπώτιδας. Πλάτων, ἐπὶ τὴν ἐώραν φέρεσθαι τῶν ὑδάτων. εἶναι γάρ τινα ἐώραν διά τινος στομίου τρήματος περιφέρουσαν παλίρροιαν, ὑφ᾽ ἧς ἀντικυμαίνεσθαι
C τὰ πελάγη. Τίμαιος, τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται, προσωθοῦντας μὲν ταῖς ἐφόδοις καὶ πλημμύραν ποιοῦντας, ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις, καὶ ἀμπώτιδας κατασκευάζοντας. Σέλευκος ὁ μαθηματικὸς, κινῶν καὶ αὐτὸς τὴν γῆν, ἀντικόπτειν αὐτῆς τῇ δίνῃ φησὶ καὶ τῇ κινήσει τὴν περιστροφὴν τῆς σελήνης· τοῦ δὲ μεταξὺ ἀμφοτέρων τῶν σωμάτων ἀντιπερισπωμένου πνεύματος καὶ ἐμπίπτοντος εἰς τὸ Ἀτλαντικὸν πέλαγος, κατὰ λόγον αὐτῷ συγκυκᾶσθαι τὴν θάλασσαν.

Περὶ ἅλω. ιηʹ.

D Η ΔΕ ἅλως οὕτως ἀποτελεῖται. μεταξὺ τῆς σελήνης ἤ τινος ἄλλου ἄστρου, καὶ τῆς ὄψεως, ἀὴρ παχὺς καὶ ὁμιχλώδης ἵσταται· εἶτα ἐν τούτῳ τῆς ὄψεως κατακλωμένης καὶ εὐρυνομένης, καθ᾽ οὗ τῷ κύκλῳ τοῦ ἄστρου προσπιπτούσης κατὰ τὴν ἔξω περιφέρειαν κύκλος δοκεῖ περὶ τὸ ἄστρον φαίνεσθαι· ὃς κύκλος φαινόμενος ἅλως καλεῖται, ὅτι ἐστὶν ἅλως προσεχῶς ἐκεῖ δοκοῦντος τοῦ φάσματος γίνεσθαι, ἔνθα νῦν ἔπεσε τὸ πάχος τῆς ὄψεως.

E

# ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις.

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΠΕΡΙΩΔΕΥΜΕΝΩΝ δὲ τῶν τοῦ κόσμου μερῶν, διαβήσομαι πρὸς τὰ κατὰ μέρος.

Περὶ Νείλου ἀναβάσεως. αʹ.

ΘΑΛΗΣ τοὺς ἐτησίους ἀνέμους οἴεται πνέοντας τῇ Αἰγύπτῳ ἀντιπροσώπους ἐπαίρειν τοῦ Νείλου τὸν ὄγκον,
F διὰ τὸ τὰς ἐκροὰς αὐτοῦ τῇ παρεισδύσει τοῦ ἀντιπαρήκοντος πελάγους ἀνακόπτεσθαι. Εὐθυμένης ὁ Μασσαλιώτης, ἐκ τοῦ Ὠκεανοῦ καὶ τῆς ἔξω θαλάσσης γλυκείας κατ᾽ αὐτὸν οὔσης νομίζει πληροῦσθαι τὸν ποταμόν. Ἀναξαγόρας, ἐκ τῆς χιόνος τῆς ἐν τῇ Αἰθιοπίᾳ, τηκομένης μὲν ἐν τῷ θέρει, ψυχομένης δὲ ἐν τῷ χειμῶνι. Δημόκριτος,

A τῆς χιόνος τῆς ἐν τοῖς πρὸς ἄρκτον μέρεσιν ὑπὸ θερινὰς τροπὰς ἀναλυομένης τε καὶ διαχεομένης, νέφη μὲν ἐκ τῶν ἀτμῶν πιλοῦσθαι, τούτων δὲ ἀπελαυνομένων πρὸς μεσημβρίαν καὶ τὴν Αἴγυπτον, ὑπὸ τῶν ἐτησίων ἀνέμων ἀποτελεῖσθαι ῥαγδαίους ὄμβρους, ὑφ' ὧν ἀναπίμπλασθαι τάς τε λίμνας καὶ τὸν Νεῖλον ποταμόν. Ἡρόδοτος ὁ συγγραφεὺς ἴσον μὲν ἐκ τῶν πηγῶν φέρεσθαι χειμῶνος καὶ θέρους, φαίνεσθαι δὲ ἐλάττονα τοῦ χειμῶνος, διὰ τὸ ἐν τούτῳ τῷ καιρῷ πλησίον ἰόντα τὸν ἥλιον τῆς Αἰγύπτου, ἐξατμίζειν τὰ νάματα. Ἔφορος ὁ ἱστοριογράφος κατὰ θέρος φησὶν ἀναχαλᾶσθαι τὴν ὅλην Αἴγυπτον, καὶ οἱονεὶ ἐξυδροῦν τὸ πολὺ νᾶμα. συνδίδωσι δ' B αὐτῇ καὶ ἡ Ἀραβία καὶ ἡ Λιβύη παρὰ τὸ ἀραιὸν καὶ ὑπόψαμμον. Εὔδοξος τοὺς ἱερεῖς φησι λέγειν τὰ ὄμβρια τῶν ὑδάτων, καὶ τὴν ἀντιπερίστασιν τῶν ὡρῶν, ὅταν παρ' ἡμῖν εἴη θέρος τοῖς ὑπὸ τὸν θερινὸν τροπικὸν οἰκοῦσιν, τότε τοῖς ὑπὸ τὸν χειμερινὸν τροπικὸν ἀντοίκοις χειμών ἐστιν, ἐξ ὧν τὸ πλημμυροῦν ὕδωρ καταρρήγνυται.

## Περὶ ψυχῆς. β'.

ΘΑΛΗΣ ἀπεφήνατο πρῶτος τὴν ψυχὴν, φύσιν ἀεικίνητον ἢ αὐτοκίνητον. Πυθαγόρας, ἀριθμὸν ἑαυτὸν κινοῦντα. τὸν δ' ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει. Πλάτων, οὐσίαν C νοητὴν, ἐξ ἑαυτῆς κινητὴν, κατ' ἀριθμὸν ἐναρμόνιον κινουμένην. Ἀριστοτέλης ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος. τὴν δὲ ἐντελέχειαν ἀκουστέον ἀντὶ τῆς ἐνεργείας. Δικαίαρχος ἁρμονίαν τῶν τεσσάρων στοιχείων. Ἀσκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων.

## Εἰ σῶμα ἡ ψυχὴ, καὶ τίς ἡ οὐσία αὐτῆς. γ'.

ΟΥΤΟΙ πάντες οἱ προτεταγμένοι ἀσώματον τὴν ψυχὴν ὑποτίθενται, φύσει λέγοντες αὐτοκίνητον καὶ οὐσίαν νοητὴν, καὶ τοῦ φυσικοῦ ὀργανικοῦ ζωὴν ἔχοντος ἐντελέχειαν. οἱ δ' D ἀπὸ Ἀναξαγόρου ἀεροειδῆ ἔλεγόν τε καὶ σῶμα· οἱ Στωϊκοὶ πνεῦμα θερμόν. Δημόκριτος, πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα εἶναι. Ἐπίκουρος, κρᾶμα ἐκ τεσσάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ· ἐκ τετάρτου τινὸς ἀκατονομάστου, ὃ ἦν αὐτῷ αἰσθητικόν. Ἡράκλειτος, τὴν μὲν τοῦ κόσμου ψυχὴν, ἀναθυμίασιν ἐκ τῶν ἐν αὐτῷ ὑγρῶν, τὴν δὲ ἐν τοῖς ζώοις, ἀπὸ τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιάσεως ὁμογενῆ.

## Περὶ μερῶν ψυχῆς δ'. E

ΠΥΘΑΓΟΡΑΣ, Πλάτων, κατὰ μὲν τὸν ἀνωτάτω λόγον, διμερῆ τὴν ψυχήν. (τὸ μὲν γὰρ ἔχει λογικὸν, τὸ δὲ ἄλογον) κατὰ δὲ τὸ προσεχὲς καὶ ἀκριβὲς, τριμερῆ. τὸ γὰρ ἄλογον διαιροῦσιν εἴς τε τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν. οἱ Στωϊκοὶ, ἐξ ὀκτὼ μερῶν φασι συνεστάναι, πέντε μὲν τῶν αἰσθητῶν, ὁρατικοῦ, ἀκουστικοῦ, ὀσφρητικοῦ, γευστικοῦ, ἁπτικοῦ· ἕκτου δὲ, φωνητικοῦ· ἑβδόμου, σπερματικοῦ· ὀγδόου, αὐτοῦ τοῦ ἡγεμονικοῦ, ἀφ' οὗ ταῦτα πάντα ἐπιτέτακται διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις. Δημόκριτος, Ἐπίκουρος, διμερῆ τὴν ψυχὴν, τὸ μὲν λογικὸν ἔχουσαν ἐν τῷ θώρακι καθιδρυ- F μένον, τὸ δ' ἄλογον καθ' ὅλην τὴν σύγκρισιν τοῦ σώματος διεσπαρμένον. ὁ δὲ Δημόκριτος πάντα μετέχειν φησὶ ψυχῆς ποιᾶς, καὶ τὰ νεκρὰ τῶν σωμάτων, διότι ἀεὶ διαφανῶς τινος θερμοῦ καὶ αἰσθητικοῦ μετέχει τοῦ πλείονος διαπνεομένου.

A niue in partibus ad Septentriones sitis sub solstitium æstiuum resoluta atq; diffusa, densari ex vaporibus nubes, quæ compulsæ versus meridiem & ad Ægyptum ab etesiis ventis, in magnos ac vehementes dissoluantur imbres, quibus cum paludes, tum Nilus impleantur. HERODOTVS historiæ scriptor, æqualem à fontibus fluere Nilum hyeme æstateque perhibet: minorem autem hyeme videri, quia tum Sol Ægypto vicinior in vaporem aquas redigat. EPHORVS, historicus is quoq;, æstate ait relaxari totam Ægyptum, ac quasi exsudare copiosam aquam. ac conferre ad hoc etiam A-B rabiam & Africam ob raritatem & sabulosum solum. EVDOXVS ait, sacerdotes imbribus & oppositis temporum anni rationibus rem imputare. quando enim apud nos æstas est, qui sub æstiuo habitamus Tropico, tum iis qui è regione sub brumę circulo degunt hyemem esse, à quibus tum exundans aqua prorumpat.

## *De anima Cap. II.*

PRIMVS THALES animam dixit naturam esse quæ semper, aut à seipsa moueatur. PYTHAGORAS numerum qui seipsum moueat. numerum autem sumit pro mente. PLATO substantiam mente præditam, à seipsa mobilem, & quæ moueatur secun- C dum numerum harmonicum. ARISTOTELES actū (entelechean) primum corporis naturalis & instrumentis apti, viuendi, facultatem habentis. DICÆARCHVS harmoniam quatuor elementorum. ASCLEPIADES medicus coexercitationem sensuum.

## *Anima corpus an sit, & quæ eius substantia. Cap. III.*

OMNES hi, quas nominaui, corporis expertem animam statuunt, naturam ei tribuentes quæ moueatur à seseipsa, & mente sit instructa, & actus na- D turalis corporis ad viuendum apti ac instrumentis adornati. ANAXAGOREI corpus esse censuerunt, idque aereæ naturæ. STOICI spiritum calidum. DEMOCRITVS igneam compagem partium mente sola perceptarū, quæ formis sint globosis, ignea vi, deniq; corpus. EPICVRVS temperatum quippiam ex quatuor qualitatibus, ignea, aerea, aquea, & quarta cui nomen non sit positum, quod ei erat vis sentiendi. HERACLETVS animam mundi exhalationem esse humidarum eius partium. animalium autem, ab externa, & exhalatione interna cognatā.

## *De animæ partibus. Cap. IV.* E

PYTHAGORAS, PLATO, secundum supremam rationem duas partes ei assignant, quarum vna ratione sit prædita, altera eius expers, siue bruta. secundum propinquam autem & subtiliorem rationem tres: diuidunt enim brutam in iræ, & in cupiditatibus deditam. STOICI ex octo partibus componunt animā: quinq; sensibus, visu, auditu, olfactu, gustatu, tactu: sexta vocali: septima seminea: octaua ea quæ principatum obtinet, & à qua reliquæ omnes dispositæ sunt suis quæq; instrumentis, conuenienter flagellis polypi. DEMOCRITVS, EPICVRVS, bimembrem faciunt animam, cuius F pars rationis compos in pectore sita sit, bruta per totam corporis concretionem diffusa. DEMOCRITVS porro omnia ait quandam habere animam, etiam cadauera: quod hæc semper perspicue aliquid obtineant caloris & sensus, maiori parte exspirata.

*De principe animæ parte.* *Cap. V.*

INESSE hanc aiunt PLATO & DEMOCRITVS in toto capite. STRATO in superciliorum intercapedine. ERASISTRATVS circa membranã cerebri, quam epicranida nominat. HEROPHILVS in cauo seu fundo cerebri. PARMENIDES in toto pectore. EPICVRVS, & STOICI in vniuerso corde, aut cordis spiritu. DIOGENES in arteriosa cordis cauea, quæ est spiritualis. EMPEDOCLES in sanguinis substantia. Alii in collo cordis. Alii in membrana cor ambiente. Alii in septo transuerso. Nonnulli recentiorum eo vsque à capite pertingere. PYTHAGORAS vitalem animæ partem circa cor, rationem & mentem circa caput.

*De motu animæ.* *Cap VI.*

PLATO semper moueri animam, mentem autem non moueri à loco ad alium. ARISTOTELES animam immobilem, omnis motus per se exsortem: per accidens autem moueri, vt & formas corporum.

*De animæ immortalitate.*
*Cap. VII.*

PYTHAGORAS & PLATO interitus expertem animam: cum enim exit, peruenire in cognatam sibi animam mundi. STOICI exeuntem è corpore simul cum concreto interire, eam scilicet quæ sit imbecillior: quales sunt ineruditorum animæ. Validiores, quales sunt sapientum, durare vsque ad conflagrationem. DEMOCRITVS & EPICVRVS caducam esse, & simul cum corpore interire. PYTHAGORAS, PLATO, ratione prœditam partem non interire: esse animam quippe non Deum, sed opificium æterni Dei. brutam esse obnoxiam interitui.

*De sensibus & sensilibus.*
*Cap. VIII.*

STOICI sensum definiunt apprehensionem quę fit à sentiendi instrumento. Varie autem dicitur sensus. nam & habitus, & facultas, & actus, & imaginario apprehendens sensus instrumento fiunt, ipsaque etiam octaua pars princeps à quo pendet. Rursum instrumenta sentiendi sunt spiritus intelligentes à principe parte ad instrumenta corporea dispositi. EPICVRVS, sensum dupliciter accipit, pro facultate & pro actu sentiendi. PLATO sensum definit animæ & corporis communionem cum externis. vis enim sentiendi est in anima, instrumentum corporis. ambo autem per phantasian (hoc imaginationẽ voco) externa apprehendunt. LEVCIPPVS, DEMOCRITVS, sensum & intelligentiam munus suum obire, visis siue imaginibus (sic illorum simulacra, eidola, exprimo) foris oblatis. his non accidentibus, neutrum istorum quicquam moliri.

*Verine sint sensus, veræ imaginationes.*
*Cap. IX.*

STOICI sensus non falli iudicant. visorum alia vera esse, alia falsa. EPICVRVS vtrisque veritatem ex æquo attribuit. Opinionum alias veras esse, alias falsas. Sensum vno tantum modo falli, cum suum de rebus mente cernendis interponit iudicium. phantasiam duobus, cum & sensilium sit, & intelligibilium. EMPEDOCLES, HERACLIDES, pro meatuum concinnitate sensum fieri, cum quoduis sensile suo sensui accommodetur.

A Τίς τὸ τῆς ψυχῆς ἡγεμονικόν, καὶ ἐν τίνι ἐστίν. έ.

ΠΛΑΤΩΝ, Δημόκριτος, ἐν ὅλῃ τῇ κεφαλῇ. Στράτων, ἐν μεσοφρύῳ. Ἐρασίστρατος, περὶ τὴν μήνιγγα τοῦ ἐγκεφάλου, ἣν ἐπικρανίδα λέγει. Ἡρόφιλος, ἐν τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ ἥτις ἐστὶ καὶ βάσις. Παρμενίδης ἐν ὅλῳ τῷ θώρακι, καὶ Ἐπίκουρος. οἱ Στωϊκοὶ πάντες, ἐν ὅλῃ τῇ καρδίᾳ, ἢ τῷ περὶ καρδίαν πνεύματι. Διογένης ἐν τῇ ἀρτηριακῇ κοιλίᾳ τῆς καρδίας, ἥτις ἐστὶ πνευματική. Ἐμπεδοκλῆς, ἐν τῇ τοῦ αἵματος συστάσει. οἱ δέ, ἐν τῷ τραχήλῳ τῆς καρδίας· οἱ δέ, ἐν τῷ περὶ καρδίαν ὑμένι· οἱ δέ, ἐν τῷ διαφράγματι. τῶν νεωτέρων B δέ τινες, διήκειν ἀπὸ κεφαλῆς μέχρι τοῦ διαφράγματος. Πυθαγόρας, τὸ μὲν ζωτικὸν περὶ τὴν καρδίαν, τὸ δὲ λογικὸν καὶ νοερὸν περὶ τὴν κεφαλήν.

Περὶ κινήσεως ψυχῆς. ς΄.

ΠΛΑΤΩΝ, ἀεικίνητον τὴν ψυχήν, τὸν δὲ νοῦν ἀκίνητον τῆς μεταβατικῆς κινήσεως. Ἀριστοτέλης ἀκίνητον τὴν ψυχὴν πάσης κινήσεως προηγουμένης, τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν, καθάπερ τὰ εἴδη τῶν σωμάτων.

Περὶ ἀφθαρσίας ψυχῆς. ζ΄.

ΠΥΘΑΓΟΡΑΣ, Πλάτων, ἄφθαρτον εἶναι τὴν ψυχήν· C ἐξιοῦσαν γὰρ εἰς τὴν τοῦ παντὸς ψυχὴν ἀναχωρεῖν πρὸς τὸ ὁμογενές. οἱ Στωϊκοί, ἐξιοῦσαν τῶν σωμάτων ὑποφέρεσθαι, τὴν μὲν ἀσθενεστέραν ἅμα τοῖς συγκρίμασι γίνεσθαι· (ταύτην δὲ εἶναι τῶν ἀπαιδεύτων) τὴν δὲ ἰσχυροτέραν, οἵα ἐστὶ περὶ τοὺς σοφούς, καὶ μέχρι τῆς ἐκπυρώσεως. Δημόκριτος, Ἐπίκουρος, φθαρτήν, τῷ σώματι συνδιαφθειρομένην. Πυθαγόρας, Πλάτων, τὸ μὲν λογικόν, ἄφθαρτον, (καὶ γὰρ τὴν ψυχήν, οὐ θεὸν ἀλλ᾽ ἔργον τοῦ ἀιδίου θεοῦ ὑπάρχειν) τὸ δὲ ἄλογον, φθαρτόν.

Περὶ αἰσθήσεων καὶ αἰσθητῶν. ή.

Οἱ Στωϊκοὶ ὁρίζονται οὕτω τὴν αἴσθησιν, Αἴσθησις, ἐστὶν ἀντίληψις αἰσθητηρίου, ἢ κατάληψις. πολλαχῶς δὲ λέγεται ἡ D αἴσθησις· ἥ τε γὰρ ἕξις, καὶ ἡ δύναμις, καὶ ἡ ἐνέργεια καὶ ἡ φαντασία ἡ καταληπτικὴ δι᾽ αἰσθητηρίου γίνονται, καὶ αὐτὸ τὸ ὄγδοον ἡγεμονικόν, ἀφ᾽ οὗ συνίσταται. πάλιν δὲ αἰσθητήρια λέγεται πνεύματα νοερά, ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένα. Ἐπίκουρος, Τὸ μόριόν ἐστιν ἡ αἴσθησις, ἥτις ἐστὶν ἡ δύναμις· καὶ τὸ ἐπαίσθημα, ὅπερ ἐστὶ τὸ ἐνέργημα. ὥστε διχῶς παρ᾽ αὐτῷ λέγεσθαι, αἴσθησιν μὲν τὴν δύναμιν, αἰσθητικὸν δέ, τὸ ἐνέργημα. Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. ἡ μὲν γὰρ δύναμις, ψυχῆς· τὸ δὲ ὄργανον, σώματος. ἄμφω δὲ διὰ φαντασίας ἀντι- E ληπτικὰ τῶν ἔξωθεν γίνεται. Λεύκιππος, Δημόκριτος, τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων. μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος εἰδώλου.

Εἰ ἀληθεῖς αἱ αἰσθήσεις καὶ αἱ φαντασίαι. θ΄.

Οἱ Στωϊκοὶ τὰς μὲν αἰσθήσεις, ἀληθεῖς· τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς. Ἐπίκουρος, πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν, ἀληθῆ· τῶν δὲ δοξῶν τὰς μέν, ἀληθεῖς, τὰς δέ, ψευδεῖς· καὶ ἡ μὲν αἴσθησις μοναχῶς ψευδο- F ποιεῖται τὰ κατὰ τὰ νοητά· ἡ δὲ φαντασία, διχῶς. καὶ γὰρ αἰσθητῶν ἐστι φαντασία καὶ νοητῶν. Ἐμπεδοκλῆς Ἡρακλείδης, παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι. τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστῃ ἁρμόζοντος.

Πόσαι εἰσὶν αἱ αἰσθήσεις. ι. A

Οἱ Στωϊκοὶ πέντε τὰς ἰδικὰς αἰσθήσεις, ὅρασιν, ἀκοὴν, ὄσφρησιν, γεῦσιν, ἁφήν. Ἀριστοτέλης ἕκτην μὲν οὐ λέγει, κοινὴν δὲ αἴσθησιν τὴν τῶν συνθέτων εἰδῶν κριτικὴν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας· ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου πρὸς ἕτερον, οἱονεὶ σχήματος καὶ κινήσεως, δείκνυται. Δημόκριτος πλείους εἶναι αἰσθήσεις περὶ τὰ ἄλογα ζῶα καὶ περὶ τοὺς θεοὺς καὶ σοφούς.

Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ ἔννοια καὶ ὁ κατὰ διάθεσιν λόγος. ια'.

Οἱ Στωϊκοί φασιν, Ὅταν γεννηθῇ ὁ ἄνθρωπος, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς, ὥσπερ χάρτης ἐνεργὸν εἰς ἀπογραφήν. εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται. πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος, ὁ διὰ τῶν αἰσθήσεων. αἰσθανόμενοι γάρ τινος, οἷον λευκοῦ, ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν. ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φασὶν ἔχειν ἐμπειρίαν. ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν πλῆθος. τῶν δὲ ἐννοιῶν αἱ μὲν φυσικαὶ, γίνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ ἀνεπιτεχνήτως· αἱ δὲ ἤδη δι' ἡμετέρας διδασκαλίας καὶ ἐπιμελείας. αὗται μὲν οὖν, ἔννοιαι καλοῦνται μόνον, ἐκεῖναι δὲ, καὶ προλήψεις. ὁ δὲ λόγος καθ' ὃν προσαγορευόμεθα λογικοὶ, ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται, κατὰ τὴν πρώτην ἑβδομάδα. C ἔστι δὲ νόημα, φάντασμα διανοίας λογικοῦ ζῴου. τὸ γὰρ φάντασμα ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, τότε ἐννόημα καλεῖται, εἰληφὸς τοὔνομα παρὰ τοῦ νοῦ· διόπερ τοῖς ἄλλοις ζῴοις οὐ προσπίπτει φαντάσματα. ὅσα δὲ καὶ τοῖς θεοῖς, καὶ ἡμῖν γε, ταῦτα φαντάσματα μόνον ἐστίν. ὅσα δὲ ἡμῖν ταῦτα καὶ φαντάσματα κατὰ γένος, καὶ ἐννοήματα κατ' εἶδος. ὥσπερ τὰ δηνάρια καὶ οἱ στατῆρες, αὐτὰ μὲν καθ' αὑτὰ ὑπάρχει δηνάρια, καὶ στατῆρες· ἐὰν δὲ εἰς πλοίου δοθῇ μίσθωσιν, τηνικαῦτα, πρὸς τῷ δηνάρια εἶναι, καὶ ναῦλα λέγεται. D

Τίνι διαφέρει φαντασία, φανταστὸν, φανταστικὸν, φάντασμα. ιβ'.

Χρύσιππος διαφέρειν ἀλλήλων φησὶ τέτταρα ταῦτα. φαντασία μὲν οὖν ἐστι, πάθος ἐν τῇ ψυχῇ γινόμενον, ἐνδεικνύμενον ἑαυτῷ καὶ τὸ πεποιηκός. οἷον, ἐπειδὰν δι' ὄψεως θεωρῶμεν τὸ λευκὸν, ἔστι πάθος τὸ ἐγγεγενημένον διὰ τῆς ὁράσεως ἐν τῇ ψυχῇ. καὶ τοῦτο τὸ πάθος εἰπεῖν ἔχομεν, ὅτι ὑπόκειται λευκὸν, κινοῦν ἡμᾶς ὁμοίως καὶ διὰ τῆς ἁφῆς καὶ τῆς ὀσφρήσεως. εἴρηται δὲ φαντασία ἀπὸ τοῦ φωτός. καθάπερ γὰρ τὸ φῶς αὑτὸ δείκνυσι, καὶ τὰ ἄλλα τὰ ἐν αὐτῷ περιεχόμενα, E καὶ ἡ φαντασία δείκνυσιν ἑαυτὴν καὶ τὸ πεποιηκὸς αὐτήν. φανταστὸν δὲ, τὸ ποιοῦν τὴν φαντασίαν· οἷον τὸ λευκὸν, καὶ τὸ ψυχρὸν· καὶ πᾶν ὅ, τι ἂν δύνηται κινεῖν τὴν ψυχὴν, τοῦτ' ἔστι φανταστόν. φανταστικὸν δέ ἐστι διάκενος ἑλκυσμὸς, πάθος ἐν τῇ ψυχῇ ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον· καθάπερ ἐπὶ τοῦ σκιαμαχοῦντος καὶ κενὰς ἐπιφέροντος τὰς χεῖρας· τῇ γὰρ φαντασίᾳ ὑπόκειταί τι φανταστὸν, τῷ δὲ φανταστικῷ οὐδέν. φάντασμα δέ ἐστιν ἐφ' ὃ ἑλκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμόν. ταῦτα δὲ γίνεται ἐπὶ τῶν μελαγχολώντων καὶ μεμηνότων. ὁ γοῦν τραγικὸς Ὀρέστης, ὅταν λέγῃ, F

Ὦ μῆτερ ἱκετεύω σε, μὴ 'πίσειέ μοι
Τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·

*Quot sint sensus. Cap. X.*

STOICI quinq; numerant sensus, quibus formæ apprehendantur: visum, auditum, olfactum, gustatum, tactum. ARISTOTELES sextum quidem non dicit, ponit tamen communem sensum qui diiudicet inter compositas species, in quem singuli coniiciant sensus simplices sua visa: in quo ostenditur transitus ab vno ad aliam quasi speciem, & sub forma motus. DEMOCRITVS plures esse sensus, brutorum animalium, deorum, sapientum.

*Quomodo sentiamus, notionem animo, orationemque concipiamus. Cap XI.*

STOICI dicunt, quando in lucem prognatus est homo, tum principem animi facultatem, perinde ac si ageret de conscribenda charta, in anima singulas exarare noticias. Primum inscriptionis modum esse à sensibus. vbi enim sensu aliquid percipimus, vt album, eo sublato memoriam tamen eius retinemus. post cum eiusdem generis multæ concurrerint formæ, experientiam adepti dicimur. hæc enim definitur multitudo eiusdem generis notionũ. Iam notionum quæ naturales sunt, eo quo dictum est modo fiunt, nullaq; artis industria: aliæ doctrina porro nostra accurationeq; parantur. Hæ tantum notitiæ dicuntur, istæ etiam anticipationes siue prænotiones. Ratio præterea, à qua rationis dicimur compotes istis anticipatis notionibus dicitur absolui, primo septenario. Est autem conceptus mentis visum intelligentiæ ratiocinanti, in animali rationem habẽte. Visum enim vbi ad talem accidit animam, tunc conceptio mentis dicitur. Itaq; visa, quæ Græci phantasmata dicunt, reliquis animalibus non accidunt. quæ diis, ea nobis tantum phantasmata: quæ nobis, & in genere ea sunt phantasmata, & in specie notiones. sicut denarii & stateres ipsi per se id sunt, quod nomine referunt: sin pro vectura nauali penduntur, hoc iis accedit, vt etiam portorium dicantur.

*Quid inter se differant phantasia, phantasion, phantasticum, phantasma. Cap. XII.*

CHRYSIPPVS isthæc sic distinguit. Phantasia affectio est in animo oborta, rem perceptam simul cum percipiente repræsentans. vt cum percipimus visu albedinem, affectio oritur in animo nostro à visu profecta, cuius subiectũ nominare possumus albedinem. idem de reliquis dico sensibus. Græca origine phantasiæ vox ad lumen redit. nam sicut lumen & se ostendit & ea quæ ipso comprehendũtur: ita phantasia & sese, & id vnde effecta est, demonstrat. Phantaston, quasi si phantasia perceptibile dicere, est quod phantasiam efficit: vt album, vt frigidum, & quidquid animam mouere potest. Phantasticum, quod inanis imaginationis efficax posse videor interpretari, inanis prorsus est animi tractus, quando exagitatur, eius imaginatio nulla re imaginanda (sic phantaston refero) oblata: quale videmus in iis qui cum vmbra depugnant, & inani aeri manus inferunt. Imaginationi enim, siue phantasiæ, obiicitur aliquod imaginabile, imaginationem futilem cienti, hoc est phantastico, nullum. Phantasma, id intellige vanam imaginationem. est ad quod trahimur inani tractu phantasticæ motionis. Accidunt hęc atra bile laborantibus, & furentibus. Itaque Orestes in tragœdia hæc dicens,

*O mater, obsecro te, ne incutias mihi*
*Has sanguinolentas & colubrinas virgines,*

*Quæ ponè me discurrunt, inquam, ponè me.*
furens ista dicit, neq; videt quicquam, putat modò. Itaque Electra ei dicit:
*Tuo quietus in lecto, miser mane.*
*Cernens eorum, quæ cernere putas, nihil.*
Sic & apud Homerum Theoclymenus.

### *De visu, quomodo videamus.* *Cap. XIII.*

DEMOCRITVS, EPICVRVS, imaginum insertione putauerunt nos videre. Alii radiorum quorundam receptione, qui postquam obiectæ rei infixi fuerunt, rursum ad oculum reuertantur. EMPEDOCLES imaginibus radios adiunxit, id quod sic appellans radios imaginis compositæ. HIPPARCHVS radios ait ab vtroque oculo porrectos extremitatibus suis tanquam manibus apprehendere corpora extra oculos posita, apprehensionemque eorum visui reddere. PLATO splendoris coniunctione seu concursu, quod synaugeam Platonicam appellant. lumen ab oculo per aliquantum spacium profluere in cognatum aerem, aliudque contrà à corporibus: aerem autem qui in medio est diffusu ac conuersu facilem esse, penetrare eum visus vi ignea.

### *De imaginibus quæ in speculis videntur.* *Cap. XIV.*

EMPEDOCLES apparere eas dicit ob effluxus qui in superficie speculi coeant, perficianturque ab ignea vi quæ à speculo excernitur, propositumque aerem in quem effluentia feruntur simul circumagat. DEMOCRITVS, EPICVRVS imaginum subsistentia, quæ à nobis ferantur, & circumagitatione subsistant in speculo. PYTHAGOREI reflexione visus. qui cum intentus feratur ad æs denso læuiq; corpori occurrens, ab eo repercutiatur ac in se redeat. ac simile quippiam ei accidat cum manu, quæ extenditur & ad humerum rursus reducitur. His omnibus capitulis vti licet in explicanda visionis ratione.

### *Viderine possint tenebræ.* *Cap. XV.*

Videri censuerunt Stoici. visui enim ad hoc ipsum circumpositum esse quendam fulgorem, & non mentiri visum, cerni enim reuera quòd sint tenebræ. CHRYSIPPVS secundum intentionem intermedii aeris videre nos, icto quidem & perfosso à spiritu visui destinato, qui à principe animi parte vsque ad pupillam pertinet: sed post appulsum ad vicinum aerem intendente seipsum turbinis in formam. Profunduntur autem ex oculo radii ignei non nigri aut caliginosi. itaque videri possunt tenebræ.

### *De auditu.* *Cap. XVI.*

EMPEDOCLES auditionem fieri dicit, aere accidente ad auris partem quæ cochleæ instar in gyros contorta, intra aurem suspensa tintinnabuli instar percutiatur. ALCMAEO audire nos inani quod intra aurem est. id enim personare appellente aere. omnia enim vacua sonant. DIOGENES, aere qui in capite continetur icto & moto à sono. Plato & qui eum sequuntur percuti aerem qui in capite est, eumque reflecti ad partem principem, sensumq; auditus sic fieri.

A Αὗται γὰρ αὗται πλησίον θρώσκουσί μου,
λέγει μὲν αὐτὰ ὡς μεμηνώς, ὁρᾷ δὲ οὐδὲν, ἀλλὰ δοκεῖ μόνον.
διὸ καί φησιν αὐτῷ Ἠλέκτρα,
Μέν' ὦ ταλαίπωρ' ἀτρέμα σοῖς ἐν δεμνίοις.
Ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι.
ὡς καὶ παρ' Ὁμήρῳ Θεοκλύμενος.

### Περὶ ὁράσεως, καὶ πῶς ὁρῶμεν. ιγ'.

ΔΗΜΟΚΡΙΤΟΣ, Ἐπίκουρος, κατὰ εἰδώλων εἰσκρίσεις ᾤοντο τὸ ὁρατικὸν συμβαίνειν. ἕτεροι, κατά τινων ἀκτίνων εἴσκρισιν, μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν. B Ἐμπεδοκλῆς τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε, προσαγορεύσας τὸ γιγνόμενον ἀκτῖνας εἰδώλου συνθέτου. Ἵππαρχος ἀκτῖνάς φησιν ἀφ' ἑκατέρων τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν, οἷον χειρῶν ἐπαφαῖς περικαθαπτούσαις τοῖς ἐκτὸς σώμασι, τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀποδιδόναι. Πλάτων, κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων φερομένου ἀπορρεῖν· τὸν δὲ μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον, συνεκτείνοντος τῷ πυρώδει τῆς ὄψεως. αὕτη λέ-
C γεται Πλατωνικὴ συναύγεια.

### Περὶ κατοπτρικῶν ἐμφάσεων. ιδ'.

ΕΜΠΕΔΟΚΛΗΣ, κατὰ ἀπορροίας μὲν τὰς συνισταμένας ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, τελειουμένας δὲ ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τῆς κατόπτρου πυρώδους, καὶ τὸν προκείμενον ἀέρα εἰς ὃν φέρεται τὰ ῥεύματα συμμεταφέροντος. Δημόκριτος, Ἐπίκουρος, τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ὑποστάσεις, ἅτινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατὰ τὴν ἀντιπεριστροφήν. οἱ ἀπὸ Πυθαγόρου, κατ' ἀντανακλάσεις τῆς ὄψεως. φέρεσθαι
D μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκὸν, στίχουσαν δὲ, πυκνῷ καὶ λείῳ πληχθεῖσαν, ὑποστρέφειν αὐτὴν ἐφ' ἑαυτήν· ὅμοιόν τι πάσχουσαν τῇ ἐκτάσει τῆς χειρὸς καὶ τῇ ἐπὶ τὸν ὦμον ἀντεπιστροφῇ. δύναταί τις τούτοις πᾶσι τοῖς κεφαλαίοις χρῆσθαι ἐπὶ τοῦ πῶς ὁρῶμεν.

### Εἰ ὁρατὸν τὸ σκότος. ιε'.

Οἱ Στωικοί, ὁρατὸν εἶναι τὸ σκότος· ἐκ γὰρ τῆς ὁράσεως περιχεῖσθαί τινα εἰς αὐτὸ αὐγήν. καὶ οὐ ψεύδεται ἡ ὅρασις· βλέπεται γὰρ ταῖς ἀληθείαις ὅτι ἐστὶ σκότος. Χρύσιππος, κατὰ τὴν συνέντασιν τοῦ μεταξὺ ἀέρος ὁρᾶν ἡμᾶς, νυγέντος μὲν ὑπὸ
E τοῦ ὁρατικοῦ πνεύματος, ὅπερ ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῆς κόρης διήκει, κατὰ δὲ τὴν πρὸς τὸ περικείμενον ἀέρα ἐπιβολὴν ἐντείνοντος αὐτὸν κωνοειδῶς, ὅταν ᾖ ὁμογενὴς ὁ ἀήρ. προχέονται δὲ ἐκ τῆς ὄψεως ἀκτῖνες πύριναι, οὐχὶ μέλαιναι καὶ ὁμιχλώδεις· διόπερ ὁρατὸν εἶναι τὸ σκότος.

### Περὶ ἀκοῆς ις'.

ΕΜΠΕΔΟΚΛΗΣ, τὴν ἀκοὴν γίνεσθαι κατὰ πρόσπτωσιν πνεύματος τῷ κοχλιώδει, ὅπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτὸς, κώδωνος δίκην αἰωρούμενον καὶ τυπτόμενον. Ἀλκμαίων, ἀκούειν ἡμᾶς τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτός. τοῦτο
F γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος ἐμβολήν· πάντα γὰρ τὰ κενὰ ἠχεῖ. Διογένης, τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου. Πλάτων καὶ οἱ ἀπ' αὐτοῦ, πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα· τοῦτον δὲ ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικά, καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

### Περὶ ὀσφρήσεως ιζ'. A

ΑΛΚΜΑΙΩΝ, ἐν τῷ ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικόν· τούτῳ οὖν ὀσφραίνεσθαι ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. Ἐμπεδοκλῆς, ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύμονος συνεισκρίνεσθαι τὴν ὀδμήν. ὅταν γοῦν ἡ ἀναπνοὴ βαρεῖα γίνηται, κατὰ τραχύτητα μὴ συναισθάνεσθαι, ὡς ἐπὶ τῶν ῥευματιζομένων.

### Περὶ γεύσεως ιη'.

ΑΛΚΜΑΙΩΝ, τῷ ὑγρῷ καὶ τῷ χλιαρῷ τῷ ἐν τῇ γλώττῃ πρὸς τῇ μαλακότητι διακρίνεσθαι τοὺς χυμούς. Διογένης, τῇ ἀραιότητι τῆς γλώττης, καὶ τῇ μαλακότητι, καὶ διὰ τὸ συνάπτειν τὰς ἀπὸ τοῦ σώματος εἰς αὐτὴν φλέβας, δια- B χεῖσθαι τοὺς χυλοὺς ἑλκομένους ἐπὶ τὴν αἴσθησιν καὶ τὸ ἡγεμονικόν, καθάπερ ἀπὸ σπογγιᾶς.

### Περὶ φωνῆς. ιθ'.

ΠΛΑΤΩΝ τὴν φωνὴν ὁρίζεται, πνεῦμα διὰ στόματος ἀπὸ διανοίας ἠγμένον, καὶ πληγὴν ὑπὸ ἀέρος, δι' ὤτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένην. λέγεται δὲ καὶ καταχρηστικῶς ἐπὶ τῶν ἀλόγων ζώων φωνή, καὶ τῶν ἀψύχων, ὡς χρεμετισμοὶ καὶ ψόφοι. κυρίως δὲ φωνὴ ἡ ἔναρθρός ἐστιν, ὡς φωτίζουσα τὸ νοούμενον. Ἐπίκουρος τὴν φωνὴν εἶναι, ῥεῦμα ἐκπεμπόμενον ἀπὸ τῶν φωνούντων, ἢ ἠχούντων, ἢ ψοφούντων. C τοῦτο δὲ τὸ ῥεῦμα εἰς ὁμοιοσχήμονα θρύπτεσθαι θραύσματα. ὁμοιοσχήμονα δὲ λέγεται τὰ στρογγύλα τοῖς στρογγύλοις, καὶ σκαληνὰ καὶ τρίγωνα τοῖς ὁμοιογενέσι. τούτων δ' ἐμπιπτόντων ταῖς ἀκοαῖς, ἀποτελεῖσθαι τὴν αἴσθησιν τῆς φωνῆς. φανερὸν δὲ τοῦτο γίνεσθαι ἀπὸ τῶν ἀσκῶν ἐκρεόντων, καὶ τῶν ἐκφυσώντων κναφέων τοῖς ἱματίοις. Δημόκριτος, καὶ τὸν ἀέρα φησὶν εἰς ὁμοιοσχήμονα θρύπτεσθαι σώματα· (ὁμοιοσχήμονα δὲ λέγεται τὰ στρογγύλα τοῖς στρογγύλοις) καὶ συγκαλινδεῖσθαι τοῖς ἐκ τῆς φωνῆς θραύσμασι. κολοιὸς γὰρ παρὰ κολοιὸν ἱζάνει· καὶ αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. καὶ γὰρ ἐν τοῖς αἰγιαλοῖς αἱ ὅμοιαι ψῆφοι κατὰ D τοὺς αὐτοὺς τόπους ὁρῶνται· κατ' ἄλλο μὲν, αἱ σφαιροειδεῖς, κατ' ἄλλο δὲ, αἱ ἐπιμήκεις. καὶ ἐπὶ τῶν κοσκινευόντων δὲ ἐπὶ τὸ αὐτὸ συναυλίζεται τὰ ὁμοιοσχήμονα, ὥστε χωρὶς εἶναι τοὺς κυάμους καὶ ἐρεβίνθους. ἔχοι δ' ἄν τις πρὸς τούτοις εἰπεῖν, Πῶς ὀλίγα θραύσματα πνεύματος μυρίανδρον ἐκπληροῖ θέατρον. οἱ δὲ Στωϊκοί φασι τὸν ἀέρα μὴ συγκεῖσθαι ἐκ θραυσμάτων, ἀλλὰ συνεχῆ εἶναι, δι' ὅλου μηδὲν κενὸν ἔχοντα. ἐπειδὰν δὲ πληγῇ πνεύματι, κυματοῦσθαι κατὰ κύκλους ὀρθοὺς εἰς ἄπειρον, ἕως πληρώσῃ τὸν περικείμενον ἀέρα, ὡς ἐπὶ τῆς κολυμβήθρας, τῆς πληγείσης λίθῳ· καὶ αὕτη μὲν κυκλικῶς κινεῖται, ὁ δ' ἀὴρ σφαι- E ρικῶς. Ἀναξαγόρας, τὴν φωνὴν γίνεσθαι πνεύματος ἀντιπεσόντος μὲν στερεμνίῳ ἀέρι, τῇ δ' ὑποστροφῇ τῆς πλήξεως, μέχρι τῶν ἀκοῶν προσενεχθέντος. καθὸ καὶ τὴν λεγομένην ἠχὼ γίνεσθαι.

### Εἰ ἀσώματος ἡ φωνή, καὶ πῶς ἠχὼ γίνεται. κ'.

ΠΥΘΑΓΟΡΑΣ, Πλάτων, Ἀριστοτέλης, ἀσώματον. οὐ γὰρ τὸν ἀέρα, ἀλλὰ τὸ σχῆμα τὸ περὶ τὸν ἀέρα καὶ τὴν ἐπιφάνειαν, κατὰ ποιὰν πλῆξιν γίνεσθαι φωνήν. πᾶσα δὲ ἐπιφάνεια, ἀσώματος. συγκινεῖται μὲν γὰρ τοῖς σώμασιν, αὐτὴ δὲ ἀσώματος πάντως καθέστηκεν· ὥσπερ ἐπὶ τῆς καμ- F πτομένης ῥάβδου, ἡ μὲν ἐπιφάνεια οὐδὲν πάσχει, ἡ δὲ ὕλη ἐστὶν ἡ καμπτομένη. οἱ δὲ Στωϊκοί, σῶμα τὴν φωνήν. πᾶν γὰρ τὸ δρώμενον, ἢ καὶ ποιοῦν, σῶμα· ἡ δὲ φωνή, ποιεῖ καὶ δρᾷ. ἀκούομεν γὰρ αὐτῆς, καὶ αἰσθανόμεθα προσπιπτούσης τῇ ἀκοῇ, καὶ ἐκτυπούσης, καθάπερ δακτύλιον εἰς κηρόν.

### *De olfactu. Cap. XVII.*

ALCMAEO in cerebro esse partem animæ principem. ea sentiri odores spirando ab ea attractos. EMPEDOCLES cum respiratione pulmonis. cum igitur difficulter spiratur, vt fit in humorum defluxu, tum ob asperitatem non sentiri sapores.

### *De gustatu. Cap. XIIX.*

ALCMAEO humiditate & tepore qui in lingua est, discerni sapores. DIOGENES raritate & mollicie, & quòd eò pertinent à corpore nerui, diffundi sapores attractos ad sensum & principem partem tanquam à spongia.

### *De voce. Cap. XIX.*

PLATO vocem definit, spiritum per os ab animo eductum & ictum aeris, qui per aures, cerebrum & sanguinem vsque ad animam diditur. Impropriè etiam brutis & anima prorsum carentibus rebus tribuitur vox, vt cùm hac appellatione cōplectimur hinnitum & strepitum. Propriè autem vox articulata est, Græcis ab illustrando mentis conceptu dicta. EPICVRVS vocem esse fluxum emissum à rebus vocalibus, aut sonantibus, aut strepentibus. eum fluxum in frusta confringi eiusdem formæ. conformia dicuntur teretia teretibus, inæqualium laterum & triangula cum sui generis formis comparata. His conformibus frustis ad aures accidentibus, sentiri vocem. Hoc manifestum fieri ex vtribus qui perfluunt, & fullonibus qui vestes inflant. DEMOCRITVS aerem comminui ait in conformia frusta, simulque cum vocis frustis volutari. graculum enim graculo assidere, ac semper similem ad similem duci, vt est in prouerbiis. nam etiam in litoribus similes calculi eodem apparent in loco, alio globosi collecti, alio oblongi. & inter cribrandum congregantur quæ sunt eiusdem generis, ita vt à ciceribus fabæ secernantur. Aduersus hæc dicere aliquis possit: Quomodo exigua frustula aeris implere possint theatrum aliquot hominum milibus refertum? STOICI dicunt, aerem non esse compositum ex frustis, sed totum cōtinuum, nihil habentem in se inane. Eum verò perculsum vento fluctuare in infinitum porrectis rectis circulis, donec impleatur aer circumsitus. sicut fit in piscinā lapide coniecto: nisi quòd aer sphæricè, circulariter talis aqua mouetur. ANAXAGORAS vocem edi, si spiritus occurrat solido aeri, & auersus retrò ob ictum vsque ad aures referatur. quomodo etiam fiat echo, quæ est cum sonus repercutitur.

### *An vox sit corporis expers, & quomodo fiat echo. Cap. XX.*

PYTHAGORAS, PLATO, ARISTOTELES, corporis expertem. nō enim esse aerem, sed aeris figuram & superficiē certo ictu fieri vocem. porrò nullam superficiem corpore præditam esse. Tametsi enim corporis motum sequitur, ipsa tamen prorsus caret motu. sicut cum flectitur virga, nihil patitur superficies eius, materia duntaxat flectitur. STOICI vocem dicunt esse corpus. quidquid enim agat, aut vim efficiendi habet, id esse corpus. atqui hoc esse vocis. audimus enim & sentimus, ipsa auribus accidente, & formam imprimente, quomodo annulus ceræ sigillū imprimit.

ὑπὸ γὰρ τῆς πληρώσεως τῆς θύραθεν γινομένης ἐφέλκεται). παρακει- A μένως γὰρ ἔχει τὴν δευτέραν ὄρεξιν ἐπ' αὐτὸν ὁ θώραξ τὸ πνεῦμα μεταχετεύων, πληρωθεὶς γὰρ, καὶ μηκέτι ἐφέλκεσθαι δυνάμενος, πάλιν εἰς τὸν πνεύμονα τὸ περιττὸν ἀντιμεταῤῥεῖ, δι' οὗ πρὸς τὰ ἐκτὸς τὰ τῆς ἀποκρίσεως γίνεται, τῶν σωματικῶν μερῶν ἀντιπαρεχόντων ἀλλήλοις· ὅτε μὲν γὰρ διαστολὴ γίνεται τοῦ πνεύμονος τῶν ἀλλήλων ἀντιμεταλήψεσι, πληρώσεώς τε καὶ κενώσεως γινομένης, ὡς τέτταρας μὲν γίνεσθαι κινήσεις περὶ τὸν πνεύμονα· τὴν μὲν πρώτην, καθ' ἣν ἔξωθεν ἀέρα δέχεται· τὴν δὲ δευτέραν, καθ' ἣν τοῦθ' ὅπερ ἐδέξατο θύραθεν, ἐντὸς αὐτοῦ, πρὸς τὸν θώρακα μεταῤῥεῖ· τὴν δὲ τρίτην, κατ' ἣν τὸ ἀπὸ τοῦ θώρακος συστελλόμενον, αὖθις εἰς αὐτὸν ἐκ- B δέχεται· τὴν δὲ τετάρτην, καθ' ἣν καὶ τὸ ἐξ ὑποστροφῆς ἐν αὐτῷ γινόμενον, θύραζε ἐξερᾷ. τούτων δὲ τῶν κινήσεων, δύο μὲν εἶναι διαστολάς· τήν τε ἔξωθεν τήν τε ἀπὸ τοῦ θώρακος· δύο δὲ συστολάς· τὴν μὲν, ὅταν ὁ θώραξ ὑπ' αὐτὸν τὸ πνευματικὸν ἑλκύσῃ· τὴν δὲ, ὅταν αὐτὸς εἰς τὸν κόλπον ἀέρα ἀποκρίνῃ. δύο γὰρ μόναι γίνονται περὶ τὸν θώρακα· διαστολὴ μὲν, ὅταν ἀπὸ τοῦ πνεύμονος ἐφέλκηται· συστολὴ δὲ, ὅταν αὐτῷ πάλιν ἀνταποδιδῷ.

quo cùm est impletus, secundo appetitu pectoris partem adiacentem in se deriuare spiritum: impletumque ita vt ampliùs attrahere non possit, rursus in pulmones abundantia deducere, indeque foràs protrudi, vicissim sese afficientibus corporis partibus. Aliquando enim diduci pulmonem, aliorum participatione facta vel impletione vel euacuatione: ita vt quatuor sint motus pulmonis. primus quo externum haurit aerem: secundus, quo receptũ intus in pectus deuoluit: tertius, quo id quod coactum est à pectore, rursum in se recipit: quartus, quo idipsum foràs euomit. Horum motuum duos esse, dilatationes, cum scilicet vel externum attrahit in se aerem, vel redditum à pectore in se admittit: reliquos esse, contractiones, quando scilicet pectus spiritum ad se trahit, vel foràs pulmo à pectore traditum expellit. Pectoris enim duo tantùm sunt motus. vnus dilatatio, cùm à pulmone spiritum ad se trahit: alter contractio, cùm ei superfluum reddit.

### Περὶ παθῶν σωματικῶν, καὶ εἰ συναλγεῖ τούτῳ ἡ ψυχή. κγʹ.

Οἱ Στωϊκοὶ, τὰ μὲν πάθη ἐν τοῖς πεπονθόσι τόποις, τὰς δὲ C αἰσθήσεις, ἐν τῷ ἡγεμονικῷ. Ἐπίκουρος, καὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις, ἐν τοῖς πεπονθόσι τόποις. τὸ γὰρ ἡγεμονικὸν, ἀπαθές. Στράτων, καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὰς αἰσθήσεις, ἐν τῷ ἡγεμονικῷ, οὐκ ἐν τοῖς πεπονθόσι τόποις συνίστασθαι. ἐν γὰρ ταύτῃ κεῖσθαι τὴν ὑπομονὴν, ὥσπερ ἐπὶ τῶν δεινῶν καὶ ἀλγεινῶν, καὶ ὥσπερ ἐπὶ ἀνδρείων καὶ δειλῶν.

### *De affectionibus corporis, & an in animam ea redundent. Cap. XXIII.*

STOICI affectus ponunt in locis affectis: sensus autem in principe parte. EPICVRVS tam affectus quàm sensus in locis affectis: quòd statuit partem principem omnis esse affectionis expertẽ. STRATO & animi affectus, & sensus in principe parte collocat, non in affectis locis. In hac enim parte esse sitam tolerantiam, vt in terribilibus & dolorem adferentibus, vtque in fortibus & timidis.

## ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ τοῖς φιλοσόφοις. D

### ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

### Περὶ μαντικῆς. αʹ.

ΠΛΑΤΩΝ καὶ οἱ Στωϊκοὶ τὴν μαντικὴν εἰσάγουσι κατὰ τὸ ἔνθεον, ὅπερ ἐστὶν ἐνθουσιαστικὸν· κατὰ θειότητα τῆς ψυχῆς, ὅπερ εἶπεν ἐνθουσιαστικόν· καὶ τὸ ὀνειροπολικόν. οὗτοι τὰ πλεῖστα μέρη τῆς μαντικῆς ἐγκρίνουσιν. Ξενοφάνης καὶ Ἐπίκουρος ἀναιροῦσι τὴν E μαντικήν. Πυθαγόρας δὲ μόνον τὸ θυτικὸν οὐκ ἐγκρίνει. Ἀριστοτέλης καὶ Δικαίαρχος τὸ καθ' ἐνθουσιασμὸν μόνον παρεισάγουσι καὶ τοὺς ὀνείρους, ἀθάνατον μὲν εἶναι οὐ νομίζοντες τὴν ψυχὴν, θείου δέ τινος μετέχειν αὐτήν.

### Πῶς ὄνειροι γίνονται. βʹ.

ΔΗΜΟΚΡΙΤΟΣ, τοὺς ὀνείρους γίνεσθαι κατὰ τὰς τῶν εἰδώλων παραστάσεις. Στράτων, ἀλόγῳ φύσει τῆς διανοίας ἐν τοῖς ὕπνοις αἰσθητικωτέρας μέν πως γινομένης, παρ' αὐτῷ δὲ τούτῳ τῷ γνωστικῷ κινουμένης. Ἡρόφιλος, τοὺς ὀ- F νείρους τοὺς θεοπνεύστους κατ' ἀνάγκην γίνεσθαι, τοὺς δὲ φυσικοὺς, ἀνειδωλοποιουμένης ψυχῆς τὸ συμφέρον αὐτῇ καὶ τὸ πρὸς τούτοις ἐσόμενον· τοὺς δὲ συγκραματικοὺς, ἐκ τοῦ αὐτομάτου κατ' εἰδώλων πρόσπτωσιν, ὅταν ἃ βουλόμεθα βλέπωμεν, ὡς ἐπὶ τῶν τὰς ἐρωμένας ἐχόντων ἐν ὕπνῳ γίνονται.

## PLVTARCHI

### De placitis Philosophorum, siue breuis recensionis sententiarum de natura rerum,

### LIBER V.

### *De diuinatione. Cap. I.*

PLATO & STOICI diuinationem introduxerunt, quæ sit diuinus mentis instinctus, secundum animi diuinitatem. Huc etiam diuinationem ex insomniis referunt: deniq; plurimas diuinandi rationes probant. XENOPHANES & EPICVRVS diuinationem reiiciunt. PYTHAGORAS eam duntaxat partem improbat, quæ constat sacrificiis. Aristoteles & Dicæarchus eas solum diuinationes admittunt quæ furore diuinitus immisso, aut insomniis fiunt: animam non immortalem esse, sed diuina quadam re impertiri tamen sentientes.

### *Quæ insomniorum ratio. Cap. II.*

DEMOCRITVS accessu imaginum ea fieri putauit. STRATO, quòd animi bruta natura in somnis aliquo modo plus sensus nanciscatur, itaq; à mente cieatur. HEROPHILVS somnia diuinitus inspirata necessariò fieri: naturalia, imaginando sibi anima repræsentante quod expediat, & euenturum sit: mixta, fortuitò & appulsu imaginum, cum videmus per quietem quæ volumus. quo modo amicis in somno potiri se putant nonnulli.

*Quæ sit seminis natura. Cap. III.*

ARISTOTELI semen est id quod præditum est facultate mouendi donec tale aliquid absoluat, quale est vnde ipsum fuit excretum. PYTHAGORAS spumam vtilissimi sanguinis, superfluitatem alimenti, sicut sanguinem & medullam. ALCMÆO partem cerebri. PLATO, à medulla dorsi deriuatam rem. EPICVRVS particulam corpori & animæ auulsam. DEMOCRITVS: à totis corporibus & præcipuis partibus semen genitale est carnearum venarum.

*An semen sit corpus. Cap. IV.*

LEVCIPPO & ZENONI corpus est. esse enim aliquid ab anima auulsum. PYTHAGORAS, PLATO, ARISTOTELES, vim seminis incorpoream dicunt, sicut mentem mouentem, corpoream autem materiam quæ profunditur. STRATO & DEMOCRITVS, ipsam quoque vim corpus esse, quippe spiritum.

*An feminæ etiam semen promittant. Cap. V.*

Affirmant hoc PYTHAGORAS, EPICVRVS, DEMOCRITVS. habere enim adstites testiculares, sed inuerso modo. ideoq; eas etiam præter vsum appetere. ARISTOTELES & ZENO humidam materiã emitti ab iis, sicut ab exercitatione sudores eliciuntur: non tamen vim habere seminis. HIPPON haud minus seminis eas, quàm mares, emittere, sed id non facere ad prolem generandam, quia extra vterum excidat. ideoq; quasdam sæpenumerò absq; viris semen effundere, maximè viduas. & ossa à mare, carnes à mulieribus originem habere.

*Quomodo conceptio fiat. Cap. VI.*

ARISTOTELES fieri matrice sursum attracta à purgatione, menstruisq; attrahentibus ab vniuersa mole aliquid puri sanguinis, qui accidat semini maris. Non concipi, ob impuritatem vuluæ, aut inflationem, metum, ægritudinem, infirmitatemve mulierum: aut quia viri languent.

*Quomodo mares nascantur, quomodo feminæ. Cap. VII.*

EMPEDOCLES causam calori & frigori adscribit. itaque narrant primos homines è terra enatos ad ortum Solis & meridiem sitis in partibus exstitisse ferè mares, feminas in septentrionalibus. PARMENIDES cōtrà in his exstitisse mares, quia plus his densitatis inest. in meridionalibus autem feminas ob raritatem. HIPPONAX pro eo atque semen vel consistat & validum sit, vel diffluat & infirmius sit. ANAXAGORAS, PARMENIDES, semen à dextra parte in dextram vteri partem coniici, à sinistra in sinistram. quod si secus fiat, feminas cōcipi. LEOPHANES, cuius Aristoteles meminit, illos è dextro testiculo, has è sinistro seminari. LEVCIPPVS secundum variationē membrorum, quòd mas colem, matricem femina habet. tantum enim duntaxat dicit. DEMOCRITVS communes partes, ex vtro contigerit: peculiares, prout præualuerint. HIPPONAX, si semen præualuerit, marem: si alimentum, feminam concipi.

*Monstra vt nascantur. Cap. VIII.*

EMPEDOCLES vel abundantia vel defectu seminis, aut à motus initio, aut diuisione in plura, aut

A Τίς ἡ οὐσία σπέρματος. γʹ.

ΑΡΙΣΤΟΤΕΛΗΣ, σπέρμα, ἐστὶ τὸ δυνάμενον κινεῖν ἐν ἑαυτῷ εἰς τὸ ἀποτελέσαι τι τοιοῦτον οἷόν ἐστι τὸ ἐξ οὗ συνεκρίθη. Πυθαγόρας, ἀφρὸν τοῦ χρηστοτάτου αἵματος τὸ σπέρμα περίττωμα τῆς τροφῆς, ὥσπερ τὸ αἷμα καὶ μυελόν. Ἀλκμαίων, ἐγκεφάλου μέρος. Πλάτων, μυελοῦ τοῦ νωτιαίου ἀπόρροιαν. Ἐπίκουρος, ψυχῆς καὶ σώματος ἀπόσπασμα. Δημόκριτος, ἀφ' ὅλων τῶν σωμάτων καὶ τῶν κυριωτάτων μερῶν ὁ γόνος τῶν σαρκικῶν ἰνῶν.

Εἰ σῶμα τὸ σπέρμα. δʹ.

B ΛΕΥΚΙΠΠΟΣ καὶ Ζήνων, σῶμα· ψυχῆς γὰρ εἶναι ἀπόσπασμα. Πυθαγόρας, Πλάτων, Ἀριστοτέλης, ἀσώματον μὲν εἶναι τὴν δύναμιν τοῦ σπέρματος, ὥσπερ νοῦν τὸν κινοῦντα· σωματικὴν δὲ τὴν ὕλην τὴν προχεομένην. Στράτων καὶ Δημόκριτος, καὶ τὴν δύναμιν σῶμα· πνευματικὴ γάρ.

Εἰ καὶ αἱ θήλειαι προΐενται σπέρμα. εʹ.

ΠΥΘΑΓΟΡΑΣ, Ἐπίκουρος, Δημόκριτος, καὶ τὸ θῆλυ προΐεσθαι σπέρμα. ἔχει γὰρ παραστάτας ἀπεστραμμένους· διὰ τοῦτο καὶ ὄρεξιν ἔχει περὶ τὰς χρήσεις. Ἀριστοτέλης καὶ Ζήνων, ὕλην μὲν ὑγρὰν προΐεσθαι οἱονεὶ ἀπὸ τῆς συγγυμνασίας ἱδρῶτας, οὐ μὴν σπερματικόν. Ἵππων προΐεσθαι μὲν σπέρ-
C μα τὰς θηλείας οὐχ ἥκιστα τῶν ἀρρένων, μὴ μέντοι γε εἰς ζωογονίαν τοῦτο συμβάλλεσθαι, διὰ τὸ ἐκτὸς πίπτειν τῆς ὑστέρας. ὅθεν ὀλίγας προΐεσθαι πολλάκις δίχα τῶν ἀνδρῶν σπέρμα, καὶ τὰς μάλιστα χηρευούσας. καὶ εἶναι τὰ μὲν ὀστᾶ παρὰ τοῦ ἄρρενος, τὰς δὲ σάρκας παρὰ τῆς θηλείας.

Πῶς αἱ συλλήψεις γίνονται. ϛʹ.

ΑΡΙΣΤΟΤΕΛΗΣ, τὰς μὲν συλλήψεις γίνεσθαι προσανελκομένης μὲν ὑπὸ τῆς καθάρσεως τῆς μήτρας, τῶν δὲ καταμηνίων συνεπισπωμένων ἀπὸ τοῦ παντὸς ὄγκου μέρος τι τοῦ καθαροῦ αἵ-
D ματος· ὡς συμβαίνει τῷ τοῦ ἄρρενος γόνον, μὴ γίνεσθαι δὲ τὰς κυήσεις παρ' ἀκαθαρσίαν τῆς μήτρας, ἢ ἐμπνευμάτωσιν, ἢ φόβον, ἢ λύπην, ἢ ἀσθένειαν τῶν γυναικῶν, ἢ δι' ἀτονίαν τῶν ἀνδρῶν.

Πῶς ἄρρενα γίνεται καὶ θήλεα. ζʹ.

ΕΜΠΕΔΟΚΛΗΣ, ἄρρενα καὶ θήλεα γίνεσθαι παρὰ θερμότητα καὶ ψυχρότητα. ὅθεν ἱστορεῖται τοὺς μὲν πρώτους ἄρρενας πρὸς ἀνατολῇ καὶ μεσημβρίᾳ γεγενῆσθαι μᾶλλον ἐκ τῆς γῆς, τὰς δὲ θηλείας πρὸς ταῖς ἄρκτοις. Παρμενίδης ἀντιστρόφως, τὰ μὲν πρὸς ταῖς ἄρκτοις, ἄρρενα βλαστῆσαι. τοῦ γὰρ πυκνοῦ μετέχειν πλείονος, τὰ δὲ πρὸς ταῖς μεσημβρίαις, θήλεα, πα-
E ρὰ τὴν ἀραιότητα. Ἱππῶναξ, παρὰ τὸ συνεστὼς, ἢ καὶ ἰσχυρὸν, παρὰ τὸ ῥευστικόν τε καὶ ἀσθενέστερον σπέρμα. Ἀναξαγόρας, Παρμενίδης, τὰ μὲν ἐκ τῶν δεξιῶν καταβάλλεσθαι εἰς τὰ δεξιὰ μέρη τῆς μήτρας, τὰ δὲ ἐκ τῶν ἀριστερῶν εἰς τὰ ἀριστερά· εἰ δ' ἐναλλαγῇ τὰ τῆς καταβολῆς, γίνεσθαι θήλεα. Λεωφάνης (οὗ μέμνηται Ἀριστοτέλης) τὰ μὲν ἐκ τοῦ δεξιοῦ διδύμου, τὰ δὲ ἐκ τοῦ ἀριστεροῦ. Λεύκιππος, διὰ τὴν παραλλαγὴν τῶν μορίων, καθ' ἣν ὁ μὲν καυλὸν, ἡ δὲ μήτραν ἔχει. τοσοῦτον γὰρ μόνον λέγει. Δημόκριτος, τὰ μὲν κοινὰ μέρη, ἐξ ὁποτέρου ἂν τύχῃ· τὰ δ' ἰδιάζοντα, καὶ κατ' ἐπικράτειαν. Ἱπ-
F πῶναξ, εἰ μὲν ἡ γονὴ κρατήσει, ἄρρεν· εἰ δ' ἡ τροφὴ, θῆλυ.

Πῶς τέρατα γίνεται. ηʹ.

ΕΜΠΕΔΟΚΛΗΣ, τέρατα γίνεσθαι παρὰ πλεονασμὸν σπέρματος, ἢ παρ' ἔλλειψιν, ἢ παρὰ τὴν τῆς κινήσεως ἀρχὴν, ἢ παρὰ τὴν εἰς πλείω διαίρεσιν, ἢ παρὰ τὸ

ἀπονεύειν. οὕτω περιληφθεὶς φαίνεται σχεδόν τι πάσας τὰς A ἀπολογίας. Στράτων, παρὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν, ἢ μετάθεσιν, ἢ πνευμάτωσιν. τῶν ἰατρῶν τινες, παρὰ τὸ διαστρέφεσθαι τότε τὴν μήτραν ἐμπνευματουμένην.

Διὰ τί ἡ γυνὴ πολλάκις συνουσιάζουσα οὐ συλλαμβάνει. θʹ.

ΔΙΟΚΛΗΣ ὁ ἰατρὸς, ἢ παρὰ τὸ μηδ᾽ ὅλως ἐνίας σπέρμα προΐεσθαι, ἢ παρὰ τὸ, ἔλαττον τοῦ δέοντος, ἢ διὰ τὸ, τοιοῦτον ἐν ᾧ τὸ ζωοποιητικὸν οὐκ ἔστιν, ἢ διὰ θερμασίας, ἢ ψύξεως, ἢ ὑγρασίας, ἢ ξηρότητος ἔνδειαν, ἢ κατὰ παράλυσιν τῶν μορίων. οἱ δὲ Στωϊκοὶ, κατὰ λοξότητα τοῦ καυλοῦ, μὴ δυναμένου τὴν γονὴν εὐ- B θυβολεῖν· ἢ παρὰ τὸ ἀσύμμετρον τῶν μορίων, ὡς πρὸς τὴν ἀπόστασιν τῆς μήτρας. Ἐρασίστρατος παρὰ τὴν μήτραν ὅταν τύλους ἔχῃ, καὶ σαρκώδης, ἢ ἀραιοτέρα ἢ τοῦ κατὰ φύσιν ἢ μικροτέρα.

Πῶς δίδυμα καὶ τρίδυμα γίνεται. ιʹ.

ΕΜΠΕΔΟΚΛΗΣ, δίδυμα καὶ τρίδυμα γίνεσθαι κατὰ πλεονασμὸν καὶ περισχισμὸν τοῦ σπέρματος. Ἀσκληπιάδης, παρὰ τὴν τῶν σπερμάτων διαφορὰν, ὥσπερ τὰς κριθὰς διστίχους καὶ τριστίχους. εἶναι γὰρ σπέρματα γονιμώτατα. Ἐρασίστρατος, διὰ τὰς συλλήψεις, ὥσπερ ἐπὶ τῶν ἀλόγων ζώων. ὅταν γὰρ ἡ μήτρα εἴη κεκαθαρμένη, τότε ἐπὶ σύλληψιν C ἔρχεται. οἱ Στωϊκοὶ, παρὰ τοὺς ἐν μήτρᾳ τόπους, ὅταν εἰς πρῶτον καὶ δεύτερον ἐμπέσῃ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις καὶ τὰ τρίδυμα.

Πόθεν γίνονται τῶν γονέων ὁμοιώσεις καὶ τῶν προγόνων. ιαʹ.

ΕΜΠΕΔΟΚΛΗΣ, ὁμοιότητας γίνεσθαι κατ᾽ ἐπικράτειαν τῶν σπερματικῶν γόνων· ἀνομοιότητας δὲ, τῆς ἐν τῷ σπέρματι θερμασίας ἐξατμισθείσης. Παρμενίδης, ὅταν μὲν ἀπὸ τοῦ δεξιοῦ μέρους τῆς μήτρας ὁ γόνος ἀποκριθῇ, τοῖς πατράσιν· ὅταν δὲ ἀπὸ τοῦ ἀριστεροῦ, ταῖς μητράσιν. οἱ Στωϊκοὶ, ἀπὸ τοῦ D σώματος ὅλου καὶ τῆς ψυχῆς φέρεσθαι τὰ σπέρματα, καὶ τὰς ὁμοιότητας ἀναπλάττεσθαι ἐκ τῶν αὐτῶν γενῶν τοὺς τύπους καὶ τοὺς χαρακτῆρας, ὥσπερ ἂν εἰ ζωγράφον ἀπὸ ὁμοίων χρωμάτων εἰκόνα τοῦ βλεπομένου· προΐεσθαι δὲ καὶ τὴν γυναῖκα σπέρμα· κἂν μὲν ἐπικρατήσῃ τὸ τῆς γυναικὸς, ὅμοιον εἶναι τὸ γεννώμενον τῇ μητρί· ἐὰν δὲ τὸ τοῦ ἀνδρὸς, τῷ ἀνδρί.

Πῶς ἄλλοις γίνονται ὅμοιοι καὶ οὐ τοῖς γονεῦσιν. ιβʹ.

Οἱ μὲν πλεῖστοι τῶν ἰατρῶν, τυχικῶς καὶ αὐτομάτως ἐκ τοῦ ὅταν διαψυχθῇ τὸ σπέρμα καὶ τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικὸς, ἀνόμοια γίνεσθαι τὰ παιδία. Ἐμπεδοκλῆς, τῇ κατὰ τὴν σύλληψιν E φαντασίᾳ τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη. πολλάκις γὰρ εἰκόνων καὶ ἀνδριάντων ἠράσθησαν γυναῖκες, καὶ ὅμοια τούτοις ἀπέτεκον. οἱ Στωϊκοὶ, συμπαθείᾳ τῆς διανοίας, κατὰ ῥευμάτων εἰσκρίσεις καὶ ἀκτίνων, οὐκ εἰδώλων, γίνεσθαι τὰς ἀλλήλων ὁμοιότητας.

Πῶς στεῖραι γίνονται γυναῖκες, καὶ ἄγονοι ἄνδρες. ιγʹ.

Οἱ ἰατροὶ στείρας γίνεσθαι παρὰ τὴν μήτραν ἢ παρὰ τὸ πυκνοτέραν εἶναι, ἢ παρὰ τὸ ἀραιοτέραν, ἢ παρὰ τὸ σκληροτέραν, ἢ παρά τινας ἐπιπωρώσεις, ἢ σαρκώσεις· ἢ παρὰ F μικροθυμίαν, ἢ παρ᾽ ἀτροφίαν, ἢ παρὰ καχεξίαν, ἢ παρὰ τὸ διαστρέφεσθαι τὸν σχηματισμὸν, ἢ διὰ παρασπασμόν. Διοκλῆς, ἀγόνους τοὺς ἄνδρας, ἢ παρὰ τὸ μηδ᾽ ὅλως ἐνίους σπέρμα προΐεσθαι, ἢ παρὰ τὸ, ἔλαττον τοῦ δέοντος· ἢ παρὰ τὸ, ἄγονον εἶναι τὸ σπέρμα, ἢ κατὰ παράλυσιν τῶν μορίων,

quod aliò vergat. sic videtur ferè omnes causas complexus. STRATO propter additionem, aut deminutionem, transpositionem, inflammationem. Medicorum quidam, quòd tunc matrix flatibus illapsis peruertatur.

*Cur mulier sæpius concumbens non concipiat. Cap. IX.*

DIOCLES medicus causam esse putat, quòd vel omnino nullũ, vel iusto minus semen emittat, aut proli gignendæ non aptum ob calorem, aut frigus, aut humiditatem, aut siccitatem deficientem, aut ob resolutionem vteri. STOICI, obliquitatem veretri, quòd non possit rectà eiaculari semen: aut quia membra coeuntium non sint inter se legitima proportione condita ad matricis distantiam. ERASISTRATVS, vbi vulua callos contraxerit: aut carnosior, rariorve, aut minor fuerit quàm natura exigat.

*Quomodo gemini & tergemini nascantur. Cap. X.*

EMPEDOCLES, ob abundantiam & diuisionem genituræ. ASCLEPIADES, ob corporum differentiam: sicut hordei spicæ existunt duobus aut etiam tribus granorum ordinibus. esse enim semina fœcundissima. ERASISTRATVS ob conceptiones, vt in brutis. cùm enim matrix purgata est, tunc superfetationem admittit. STOICI ob loca quæ sunt in vtero: cùm enim in primum & secundum inciderit semen, tunc fieri superfetationem & tergeminos nasci.

*Quæ causa, quòd proles parentum aut etiam progenitorum similitudinem refert. Cap. XI.*

EMPEDOCLES similitudinem defert semini præualenti: dissimilitudinem euaporationi caloris qui in semine erat. PARMENIDES, si à dextra vuluæ parte semen excernatur, patrum: si à sinistra, matrum similes nasci. STOICI, à toto corpore & anima ferri semen, exprimiq; imagines & effigies ex eadem gente, perinde atque si pictor rei conspectæ similitudinem coloribus similibus referat. præterea à muliere quoque semen emitti: quod si præualeat, matri: si viri, patri similem nasci fetum.

*Quomodo aliorum, non parentum forma similes fiant. Cap. XII.*

Medicorum plerique fortuito casu refrigeratis maris & feminæ seminibus dissimilem gigni prolem putant. EMPEDOCLES imaginatione mulieris inter concipiendum formari fetum. sæpe enim imagines etiam & statuæ sunt à mulieribus adamatæ, similisque earum proles in lucem edita. STOICI ob consensum quendam ac similem animi affectionem, fluxuum & radiorum, non imaginum, insertione similitudines effici.

*Quomodo cùm mulieres, tum viri steriles redduntur. Cap. XIII.*

Sterilitatis in muliere causas medici vtero imputant, si aliquid horũ ei accidat: puta vt fiat densior, rarior, durior, obstruatur callo, aut carnea mole. item animi languorem, defectum nutritionis, corporis vitiosam constitutionem, peruersionem figuræ, aut deuulsionem. DIOCLES steriles mares fieri, siue quòd omnino nullum emittant semen, aut minus iusta quantitate, aut quia semen sit sterile, aut ob resolutionẽ membri,

aut obliquitatem colis rectà semen eiaculari non valentis ad matricis distantiam. STOICI causantur dissimilitudinem naturæ & qualitatum in his qui corpora commiscent: nam quando separantur, & cum suæ naturæ familiaribus coeunt, tum fetum procreari.

*Cur mulæ steriles. Cap. XIV.*

ALCMAEO mulos steriles esse dicit ob seminis tenuitatem siue frigiditatem: mulas, quia matrices earum nõ hient. EMPEDOCLES, ob exilitatem, humilitatem, angustiamve vuluæ, inuersè ventri annatæ, vt neq; rectà ad eam semen eiiciatur, neq; si id fiat, excipiatur. Huic DIOCLES testimonium perhibet, tales se matrices mularũ in dissectionibus sæpenumero deprehendisse inquiens: ac fieri posse, vt iisdẽ de causis mulieres quoq; sint steriles.

*An fetus in vtero sit animal. Cap. XV.*

PLATO animal censet, quia & moueatur in vtero & alatur. STOICI partem ventris, nõ animal, vtque fructus, qui stirpium partes sunt, vbi maturuere, defluunt: ita rem quoque habere de fetu. EMPEDOCLES fetum non esse quidem animal, spiritu tamen præditum in vtero. primam autem animalis respirationem fieri cùm partu editur, decedente humore qui est in fetu, & in exhausti locum succedente in vasa reserata aere externo. DIOGENES inanimata nasci animalia, sed cum calore. atque insitum calorem simul atque natum est animal, animam in pulmones attrahere. HEROPHILVS naturalem fetui in vtero, non animalem motum permittit, motusq; causam edit neruos. animalia autem tum demum fieri, cùm ex vtero effusa aliquid aeris accipiunt.

*Quomodo alatur fetus. Cap. XVI.*

DEMOCRITVS, EPICVRVS, fetum in vtero per os ali: itaq; statim atq; natus est, ore ad mammã ferri. nam & in vtero esse vbera quædam & oscula quibus alatur. STOICI per secundinam & vmbilicum: itaq; hanc statim ab obstetricibus à partu ligari, & os infanti aperiri, vt de alio cogitet alimento. ALCMAEO ali per totum corpus, quòd spongiæ in morem recipiat quæ alendo sunt idonea.

*Quid primum in vtero absoluatur.*

*Cap. XVII.*

STOICI plerisq; fieri * ARISTOTELES primùm lumbos, tanquam carinam nauis. ALCMAEO caput, partem scilicet principem. Medici cor, in quo sint venæ & arteriæ. Alii magnum pedis digitum. Alii vmbilicum.

*Cur fetus qui septimo mense in lucem editur, vitalis sit. Cap. XIIX.*

EMPEDOCLES, quo tempore humanũ genus è terra est enatum, propter tarditatẽ motus Solis, tãtam fuisse longitudinẽ vnius diei, quanta nunc est decem mensiũ. progressu temporis contractã fuisse ad quantitatem septẽ mensium. itaq; & decimo mense & septimo editos fetus vitales esse, natura mundi hoc meditata, vt in vna die infans augescat & nascatur. TIMAEVS non decem inquit menses, sed nouem censeri ab inhibitione menstruorum postquam conceptus est fetus. sic etiam septimestria censeri quæ non sunt, cum aliquãdo mulier post conceptũ menstruis purgetur.

A ἢ κατὰ λοξότητα τοῦ καυλοῦ μὴ δυναμένου τὸν γόνον ἀποβολεῖν, ἢ παρὰ τὸ ἀσύμμετρον τῶν μορίων, πρὸς τὴν ἀπόστασιν τῆς μήτρας. οἱ Στωϊκοὶ αἰτιῶνται τὰς ἀσυμφύλους εἰς ἑκάτερον τῶν πλησιαζόντων δυνάμεις τε καὶ ποιότητας· αἷς ὅταν συμβῇ χωρισθῆναι μὲν ἀπ' ἀλλήλων, συνελθεῖν δὲ ἑτέροις ὁμοφύλοις, συνεκρατήθη τὸ κατὰ φύσιν, καὶ βρέφος τελεσιουργεῖται.

Διὰ τί αἱ ἡμίονοι στεῖραι. ιδʹ.

ΑΛΚΜΑΙΩΝ, τῶν ἡμιόνων τοὺς μὲν ἄρρενας ἀγόνους, παρὰ τὴν λεπτότητα τῆς θορῆς, ὅ ἐστι σπέρματος ψυχρότητα· τὰς δὲ θηλείας, παρὰ τὸ μὴ ἀναχάσκειν τὰς μήτρας, ὅ ἐστιν ἀναστομοῦσθαι· οὕτω γὰρ αὐτὸς εἴρηκεν. B Ἐμπεδοκλῆς, διὰ τὴν σμικρότητα καὶ ταπεινότητα καὶ στενότητα τῆς μήτρας, κατεστραμμένως προσπεφυκυίας τῇ γαστρὶ, μήτε τοῦ σπέρματος ἀπευθυνομένου εἰς αὐτὴν, μήτε, εἰ καὶ φθάσειεν, αὐτῆς ἐκδεχομένης. Διοκλῆς δὲ μαρτυρεῖ αὐτῷ, λέγων ἐν ταῖς ἀνατομαῖς, πολλάκις ἑωρακέναι μὲν τοιαύτην μήτραν τῶν ἡμιόνων· καὶ ἐνδέχεσθαι διὰ τοιαύτας αἰτίας καὶ τὰς γυναῖκας εἶναι στείρας.

Εἰ τὸ ἔμβρυον ζῶον. ιεʹ.

ΠΛΑΤΩΝ, ζῶον τὸ ἔμβρυον· καὶ γὰρ κινεῖσθαι ἐν τῇ γαστρὶ, καὶ τρέφεσθαι. οἱ Στωϊκοὶ, μέρος εἶναι αὐτὸ τῆς γαστρὸς οὐ C ζῶον. ὥσπερ γὰρ τοὺς καρποὺς μέρη τῶν φυτῶν ὄντας πεπαινομένους ἀποῤῥεῖν, οὕτω καὶ τὸ ἔμβρυον. Ἐμπεδοκλῆς, μὴ εἶναι μὲν ζῶον τὸ ἔμβρυον, ἀλλ' ἔμπνουν ὑπάρχειν ἐν τῇ γαστρί. πρώτως δὲ ἀναπνοὴν τοῦ ζώου γίνεσθαι κατὰ τὴν ἀποκύησιν, τῆς μὲν ἐν τοῖς βρέφεσιν ὑγρασίας ἀποχώρησιν λαμβανούσης, πρὸς δὲ τὸ παρακενωθὲν ἐπεισόδου τοῦ ἐκτὸς ἀερώδους γινομένης εἰς τὰ παρανοιχθέντα τῶν ἀγγείων. Διογένης, γεννᾶσθαι μὲν τὰ βρέφη ἄψυχα, ἐν θερμασίᾳ δέ. ὅθεν τὸ ἔμφυτον θερμὸν εὐθέως προχυθέντος τοῦ βρέφους, εἰς τὸν πνεύμονα ἐφέλκεται. Ἡρόφιλος κίνησιν ἀπολείπει φυσικὴν τοῖς ἐμβρύοις, οὐ πνευD ματικήν· τῆς δὲ κινήσεως αἴτια νεῦρα. τότε δὲ ζῶα γίνεσθαι ὅταν προχυθέντα προσλάβῃ τι τοῦ ἀέρος.

Πῶς τρέφεται τὰ ἔμβρυα. ιϛʹ.

ΔΗΜΟΚΡΙΤΟΣ, Ἐπίκουρος, τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ διὰ τοῦ στόματος τρέφεσθαι· ὅθεν εὐθέως γεννηθὲν ἐπὶ τὸν μαστὸν φέρεται τῷ στόματι. εἶναι γὰρ ἐν τῇ μήτρᾳ θηλάς τινας καὶ στόματα δι' ὧν τρέφονται. οἱ Στωϊκοὶ διὰ τοῦ χορίου καὶ τοῦ ὀμφαλοῦ· ὅθεν τοῦτον εὐθέως ἀποδεῖν τὰς μαιουμένας, καὶ ἀνοίγειν τὸ στόμα, ἵνα γένηται ἡ μελέτη τῆς τροφῆς ἑτέρα. Ἀλκμαίων, δι' ὅλου τοῦ σώματος τρέφεσθαι. ἀναλαμβάνειν γὰρ αὐτὸ, E ὥσπερ σπογγιὰν, τὰ ἀπὸ τῆς τροφῆς θρεπτικά.

Τί πρῶτον τελεσιουργεῖται ἐν τῇ γαστρί. ιζʹ.

ΟΙ Στωϊκοὶ, ἅμα ὅλον γίνεσθαι. Ἀριστοτέλης, πρῶτον τὴν ὀσφὺν, ὡς τρόπιν νεώς. Ἀλκμαίων, τὴν κεφαλὴν, ἐν ᾗ ἐστι τὸ ἡγεμονικόν. οἱ ἰατροὶ, τὴν καρδίαν, ἐν ᾗ αἱ φλέβες καὶ ἀρτηρίαι. οἱ δὲ, τὸν μέγαν δάκτυλον τοῦ ποδὸς· ἄλλοι δὲ, τὸν ὀμφαλόν.

Διὰ τί τὰ ἑπτάμηνα γίνεται γόνιμα. ιηʹ.

ΕΜΠΕΔΟΚΛΗΣ, ὅτε ἐγεννᾶτο τῶν ἀνθρώπων γένος ἐκ τῆς γῆς, τοσαύτην γενέσθαι τῷ μήκει τοῦ χρόνου, διὰ τὸ βραδυπορεῖν τὸν ἥλιον, τὴν ἡμέραν, ὁπόση νῦν ἐστιν ἡ δεκάμηνος. F προϊόντος δὲ τοῦ χρόνου τοσαύτην γενέσθαι τὴν ἡμέραν ὁπόση νῦν ἐστιν ἡ ἑπτάμηνος, διὰ τοῦτο καὶ τὰ δεκάμηνα γόνιμα καὶ τὰ ἑπτάμηνα, τῆς φύσεως τοῦ κόσμου οὕτω μεμελετηκυίας αὔξεσθαι ἐν μιᾷ ἡμέρᾳ ᾗ τίκτεται νυκτὶ τὸ βρέφος. Τίμαιος δὲ οὐ δέκα μῆνάς φησιν, ἐννέα δὲ νομίζεσθαι παρὰ τὰς ἐπισχέσεις τῶν μηνιαίων τῆς πρώτης συλλήψεως. οὕτω καὶ τὰ ἑπτάμηνα νομίζεσθαι, οὐκ ὄντα ἑπτάμηνα. ἐνίοτε γὰρ καὶ μετὰ τὴν σύλληψιν πόσαι καθάρσεως.

PYTHAGORAS, PLATO, animas omnium etiam bruta quæ dicuntur animalium eſſe rationis compotes, non tamen ea agere ſecundum rationem. idq; fieri ob incommodum corporum temperamentũ, & quia loquela deſtituuntur. quod in canibus & ſimiis appareat, vocem, non articulatam tamen eam, emittentibus. DIOGENES, rationis & aeris partem ea percipere, ſed vel ob craſſiciem, vel ob abundantiam humoris neq; intelligere neque ſentire: ac ferè affecta eſſe eo modo quo ſunt inſanientes, qui de mentis exiuerunt poteſtate.

*Quantum tempus ad formandum in vtero animalis fetum requiratur. Cap. XXI.*

EMPEDOCLES hominum membra incipere cõformari ait à die xxxvi, perfici membra die vndequinquageſimo. ASCLEPIADES maſculorum, q; ſint calidiſſimi, initium vigeſimæ ſextæ diei defert, nonnullos etiam maturiùs auſpicari dicens perfici membra die quinquageſimo. Femellarum initium bimeſtre, finem conformationis exitum quarti menſis, ob inopiam caloris. Brutorum perfici fetus contemperatione elementorum.

*Quibus ex elementis conſtet in nobis vniuſcuiuſque generis membrum. Cap. XXII.*

EMPEDOCLES arbitratur carnes naſci ex interna elementorum contemperatione: neruos ignis & terræ duplicibus portionibus admixtis: vngues, neruis vbi aeri occurrerunt refrigeratis. oſſa ex aqua & interna terra. quatuor autem ignis & terræ contemperatis portionibus ſudorem & lacrymam corporis fieri ſic.

*Quando & quomodo incipiat homo perfici. Cap. XXIII.*

HERACLETVS & STOICI ſub annum decimum quartum, cùm iam etiam genitalis vrina ſecerni incipit. nam & arbores tum incipere perfici, cum gignere ſemina incipiunt: immaturas antè eſſe & imperfectas, dum fructu carent. Præterea eo natu homo iam in noticiam boni ac mali venit, eorumque diſciplinæ capax exſiſtit.

*Quæ cauſæ ſint ſomni & mortis. Cap. XXIV.*

ALCMÆO ſomnum exiſtere ait ſanguinis in concurſum venarum receptu: eiuſdemque diffuſione nos euigilare: plenum autẽ abſceſſum, mortis eſſe cauſam. EMPEDOCLES moderata caloris qui in ſanguine ineſt refrigeratione ſomnum, perfecta mortem accidere. DIOGENES, ſi vniuerſus ſanguis in venas diffuſus contentum in eis aerem in pectus ſubiectumq; ei ventrem contrudat, ſomnum fieri, ac thoracem incaleſcere. quòd ſi vniuerſus aer venas deſerat, mortem conſequi. PLATO & STOICI ſomnum fieri remiſſione ſenſitiui ſpiritus, non relaxatione, ſicut in terra: ſed cùm is ad interuallum ſuperciliorũ, id eſt partem principem, fertur. qui ſpiritus ſi omnino remittatur, mortem ſubſequi.

*Ad animamne, an verò ad corpus pertineant ſomnus & mors. Cap. XXV.*

ARISTOTELES ſomnũ corpori cum anima facit cõmunem. eſſe n. euaporationẽ humidi è pectore in caput, & refrigerationẽ caloris in corde ab alimẽto ſubiecto. mortẽ eſſe abſolutam refrigerationẽ: ſoliuſq; corporis eſſe, animam eſſe immortalẽ.

Πυθαγόρας, Πλάτων, λογικὰς μὲν εἶναι καὶ τῶν ἀλόγων ζώων καλουμένων τὰς ψυχάς, οὐ μὴν λογικῶς ἐνεργούσας παρὰ τὴν δυσκρασίαν τῶν σωμάτων καὶ τὸ μὴ ἔχειν τὸ φραστικόν, ὥσπερ ἐπὶ τῶν πιθήκων καὶ τῶν κυνῶν. λαλοῦσι μὲν γὰρ οὗτοι, οὐ φράζουσι δέ. Διογένης, μετέχειν μὲν αὐτὰ τοῦ νοητοῦ καὶ ἀέρος, διὰ δὲ τὸ τὰ μὲν πυκνότητι, τὰ δὲ πλεονασμῷ τῆς ὑγρασίας, μήτε διανοεῖσθαι, μήτε αἰσθάνεσθαι, προσφερῶς δὲ αὐτὰ διακεῖσθαι τοῖς μεμηνόσι, παρεπταικότος τοῦ ἡγεμονικοῦ.

Ἐν πόσῳ χρόνῳ μορφοῦται τὰ ζῶα ἐν τῇ γαστρὶ ὄντα. κα΄.

ΕΜΠΕΔΟΚΛΗΣ, ἐπὶ μὲν τῶν ἀνθρώπων ἄρχεσθαι τῆς διαρθρώσεως ἀπὸ ἕκτης καὶ τριακοστῆς, τελειοῦσθαι δὲ τοῖς μορίοις ἀπὸ πεντηκοστῆς, μιᾶς δεούσης. Ἀσκληπιάδης ἐπὶ μὲν τῶν ἀρρένων, διὰ τὸ θερμότατα εἶναι, τὴν διάρθρωσιν γίνεσθαι ἀπὸ ἕκτης καὶ εἰκοστῆς, πολλὰς δὲ καὶ ἐνδοτέρω· πληροῦσθαι δὲ ἐν τοῖς τῆς πεντηκοστῆς μορίοις. ἐπὶ δὲ τῶν θηλυκῶν ἐν διμήνῳ διαρθροῦσθαι. ἐν τετραμήνῳ δὲ τελειοῦσθαι, διὰ τὸ ἐνδεῖν τοῦ θερμοῦ· τὰ δὲ τῶν ἀλόγων ζώων, ὁλοτελῆ παρὰ τὰς συγκράσεις τῶν στοιχείων.

Ἐκ πόσων συνίσταται στοιχείων ἕκαστον τῶν ἐν ἡμῖν γενικῶν μορίων. κβ΄.

ΕΜΠΕΔΟΚΛΗΣ, τὰς μὲν σάρκας γεννᾶσθαι ἐκ τῆς ἔσω τῇ κράσει τεττάρων στοιχείων· τὰ δὲ νεῦρα, πυρὸς, γῆς, τὰ διπλασίονα μιχθέντα. τοὺς δὲ ὄνυχας τοῖς ζώοις γεννᾶσθαι τῶν νεύρων καθὸ τῷ ἀέρι συνέτυχε περιψυχθέντων. ὀστᾶ δὲ δοκεῖ μὲν ὕδατος, καὶ τῆς ἔσω γῆς· τεττάρων δὲ, πυρὸς, γῆς, τούτων συγκραθέντων μερῶν, ἱδρῶτα καὶ δάκρυον γίνεσθαι τοῦ σωματικοῦ οὕτως.

Πῶς ὕπνος γίνεται ἢ θάνατος τῆς ψυχῆς ἢ σώματος. κγ΄.

ΑΛΚΜΑΙΩΝ ἀναχωρήσει τοῦ αἵματος εἰς τὰς ὁμόρρους φλέβας ὕπνον γίνεσθαί φησι· τὴν δὲ ἐξέγερσιν, διάχυσιν· τὴν δὲ παντελῆ ἀναχώρησιν, θάνατον. Ἐμπεδοκλῆς, τὸν μὲν ὕπνον καταψύξει τοῦ ἐν τῷ αἵματι θερμοῦ συμμέτρῳ γίνεσθαι, παντελεῖ δὲ θάνατον. Διογένης, εἰ ἐπὶ πᾶν τὸ αἷμα διαχεόμενον, πληρώσει μὲν τὰς φλέβας, τὸν δὲ ἐν αὐταῖς περιεχόμενον ἀέρα ὤσει εἰς τὰ στέρνα καὶ τὴν ὑποκειμένην γαστέρα, ὕπνον γεγενῆσθαι, καὶ θερμότερον ὑπάρχειν τὸν θώρακα. ἐὰν δὲ ἅπαν τὸ ἀερῶδες ἐκ τῶν φλεβῶν ἐκλίπῃ, θάνατον τυγχάνειν. Πλάτων, οἱ Στωϊκοὶ, τὸν μὲν ὕπνον γίνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ πνεύματος, οὐ κατ' ἀναχαλασμὸν, καθάπερ ἐπὶ τῆς γῆς, φερομένου δὲ ὡς ἐπὶ τὸ ἡγεμονικὸν μεσόφρυον. ὅταν δὲ παντελῶς γένηται ἡ ἄνεσις τοῦ αἰσθητικοῦ πνεύματος, τότε γεγενῆσθαι θάνατον.

Πότε καὶ πῶς ἄρχεται ὁ ἄνθρωπος τῆς τελειότητος. κδ΄.

ΗΡΑΚΛΕΙΤΟΣ, καὶ οἱ Στωϊκοὶ, ἄρχεσθαι τοὺς ἀνθρώπους τελειότητος περὶ τὴν δευτέραν ἑβδομάδα, περὶ ἣν ὁ σπερματικὸς κρίνεται ὀρρός. τὰ γὰρ δένδρα ἄρχεται τότε τελειότητος, ὅταν ἄρχηται γεννᾶν τὰ σπέρματα. ἀτελῆ δέ ἐστι καὶ ἄωρα καὶ ἄκαρπα ὄντα. τέλειος οὖν τότε ἄνθρωπος. περὶ δὲ τὴν δευτέραν ἑβδομάδα ἔννοια γίνεται καλοῦ τε καὶ κακοῦ, καὶ τῆς διδασκαλίας αὐτῶν.

Ὁποτέρου ἐστὶν ὕπνος ἢ θάνατος, ψυχῆς ἢ σώματος. κε΄.

ΑΡΙΣΤΟΤΕΛΗΣ, κοινὸν μὲν τὸ ὕπνον σώματος καὶ ψυχῆς. ἔστι δὲ αὐτῷ τὸ ἀναθυμιαθὲν ὑγρὸν ἀπὸ τοῦ θώρακος εἰς τοὺς περὶ τὴν κεφαλὴν τόπους, καὶ τῆς ὑποκειμένης τροφῆς, τὸ ἐν τῇ καρδίᾳ παραψυχθὲν θερμόν. τὸν δὲ θάνατον εἶναι παντελῆ κατάψυξιν. θάνατον δὲ εἶναι μόνου τοῦ σώματος, οὐ ψυχῆς· ταύτης γὰρ οὐκ ὑπάρχει θάνατος.

Ἀναξαγόρας δέ, τῆς σωματικῆς ἐνεργείας γίνεσθαι τὸν ὕπνον· σωματικὸν γὰρ εἶναι τὸ πάθος, οὐ ψυχικόν· εἶναι δὲ καὶ ψυχῆς θάνατον τὸν διαχωρισμόν. Λεύκιππος, οὐ μόνον σώματος γίνεσθαι, ἀλλὰ κράσει τοῦ λεπτομεροῦς πλείονι τῆς ἐκκράσεως τοῦ ψυχικοῦ θερμοῦ τὸν πλεονασμὸν, αἰτίαν θανάτου. ταῦτα δὲ εἶναι πάθη σώματος, οὐ ψυχῆς. Ἐμπεδοκλῆς τὸν θάνατον γεγενῆσθαι διαχωρισμὸν τοῦ πυρώδους, ἐξ ὧν ἡ σύγκρισις τῷ ἀνθρώπῳ συνεστάθη· ὥστε κατὰ τοῦτο κοινὸν εἶναι τὸν θάνατον σώματος καὶ ψυχῆς. ὕπνον δὲ γίνεσθαι διαχωρισμόν τινα τοῦ πυρώδους.

Πῶς ηὐξήθη τὰ φυτά, καὶ εἰ ζῶα. κϛʹ.

ΠΛΑΤΩΝ, Ἐμπεδοκλῆς, καὶ τὰ φυτὰ ἔμψυχα καὶ ζῶα. φανερὸν δὲ καὶ ἀπὸ τοῦ σαλεύεσθαι, καὶ ἐντεταμένους ἔχειν τοὺς κλάδους, καὶ ἐν ταῖς ἐπαναγωγαῖς εἴκειν, καὶ πάλιν σπονδίως ἀναχαλασθέν· ὥστε καὶ συνεπέλκειν. Ἀριστοτέλης, ἔμψυχα μὲν, οὐ μὴν καὶ ζῶα. τὰ γὰρ ζῶα ὁρμητικὰ εἶναι, καὶ αἰσθητικὰ δὲ καὶ λογικά. οἱ Στωϊκοὶ δὲ καὶ Ἐπικούρειοι, οὐκ ἔμψυχα. τινὰ γὰρ ψυχῆς ὁρμητικῆς εἶναι καὶ ἐπιθυμητικῆς, τινὰ δὲ καὶ λογικῆς· τὰ δὲ φυτὰ αὐτομάτως πως γεγενῆσθαι, οὐ διὰ ψυχῆς. Ἐμπεδοκλῆς πρῶτα τῶν ζώων τὰ δένδρα ἐκ γῆς ἀναδῦναί φησι, πρὶν τὸν ἥλιον περιαπλωθῆναι, καὶ πρὶν ἡμέραν καὶ νύκτα διακριθῆναι· διὰ δὲ συμμετρίας τῆς κράσεως τὸν τοῦ ἄρρενος τοῦ θήλεος περιέχειν λόγον. αὔξεσθαι δὲ ἀπὸ τοῦ ἐν τῇ γῇ θερμοῦ διαιρουμένου, ὥστε γῆς εἶναι μέρη, καθάπερ καὶ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ, τῆς μήτρας μέρη. τοὺς δὲ καρποὺς περιττώματα εἶναι ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός· καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα τὸ ὑγρὸν, ἐξικμαζομένου αὐτοῦ τῷ θέρει φυλλορροεῖν, τὰ δὲ πλείονα παραμένειν, ὥσπερ ἐπὶ τῆς δάφνης, καὶ τῆς ἐλαίας, καὶ τοῦ φοίνικος. τὰς δὲ διαφορὰς τῶν χυμῶν, παραλλαγὰς τῆς πολυμερείας καὶ τῶν αἰτίων γίνεσθαι, διαφορὰς ἐχόντων τὰς ἀπὸ τοῦ τρέφοντος πολεμερείας, ὥσπερ ἐπὶ τῶν ἀμπέλων. οὐ γὰρ αἱ διαφοραὶ τούτων χρηστικὸν οἶνον ποιοῦσιν, ἀλλ' ἐκ τοῦ τρέφεσθαι ἐδάφοις.

Περὶ τροφῆς καὶ αὐξήσεως. κζʹ.

ΕΜΠΕΔΟΚΛΗΣ, τρέφεσθαι μὲν τὰ ζῶα διὰ τὴν ὑπόστασιν τοῦ οἰκείου, αὔξεσθαι δὲ διὰ τὴν παρουσίαν τοῦ θερμοῦ· μειοῦσθαι δὲ καὶ φθίνειν διὰ τὴν ἔκλειψιν ἑκατέρων. τοὺς δὲ νῦν ἀνθρώπους τοῖς πρώτοις συμβαλλομένους, βρεφῶν ἐπέχειν τάξιν.

Πόθεν αἱ ὀρέξεις γίνονται τοῖς ζώοις καὶ ἡδοναί. κηʹ.

ΕΜΠΕΔΟΚΛΗΣ, τὰς μὲν ὀρέξεις γίνεσθαι τοῖς ζώοις κατὰ τὰς ἐλλείψεις τῶν ἀποτελούντων ἕκαστον στοιχείων, τὰς δὲ ἡδονὰς ἐξ ὑγροῦ, καὶ τὰς τῶν κινδύνων καὶ ὁμοίων κινήσεις, τὰς δὲ ὀχλήσεις καὶ τὰς

Πῶς γίνεται ὁ πυρετὸς, καὶ εἰ ἐπιγέννημά ἐστι. κθʹ.

ΕΡΑΣΙΣΤΡΑΤΟΣ ὁρίζεται τὸν πυρετὸν οὕτω, πυρετός, ἐστὶ κίνημα αἵματος παρεμπεπτωκὸς εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα ἀπροαιρέτως γινόμενον. καθάπερ γὰρ ἐπὶ τῆς θαλάττης, ὅταν μηδὲν αὐτὴν κινῇ, ἠρεμεῖ, ἀνέμου δὲ ἐμπνέοντος βιαίου παρὰ φύσιν, τότε ἐξ ὅλης κυκλεῖται, οὕτω καὶ ἐν τῷ σώματι, ὅταν κινηθῇ τὸ αἷμα, τότε ἐμπίπτει μὲν εἰς τὰ ἀγγεῖα τῶν πνευμάτων, πυρούμενον δὲ θερμαίνει τὸ ὅλον σῶμα. ἀρέσκει δὲ αὐτῷ καὶ ἐπιγέννημα εἶναι ὁ πυρετός. Διοκλῆς δέ φησιν ὄψεις ἀδήλων τὰ φαινόμενα· ἐπὶ δὲ τοῖς φαινομένοις ὁρᾶται ὁ πυρετὸς ἐπιγινόμενος, τραύματα καὶ φλεγμοναὶ καὶ βουβῶνες.

A ANAXAGORAS somnum accidere putat functionibus corporis: non enim animæ esse, sed corporis adfectionem. mortem esse animæ diuulsionẽ. LEVCIPPVS solius corporis esse somnum: cumque ob tenuitatem partium plus iusto excernitur animati caloris, eo mortem effici. corporis hæc esse, non animæ affectiones. EMPEDOCLES mortem esse igneæ naturæ secretionem ab his ex quibus homo coaluit. ideoque communem esse animæ corporique mortem. somnum autem euenire secretione naturæ igneæ.

B *De plantarum incremento, & an sint animalia.*
*Cap. XXVI.*

PLATO, EMPEDOCLES, stirpes quoq; anima præditas esse, & in animalium numero censent: eo argumento, quod & nutent, & ramos habeant directos, qui inflexi si remittantur, suum repetãt locum atq; rectitudinem. ARISTOTELES viuere dicit, animalia esse negat. quòd animalia appetitu, sensuq;, & quædam porrò ratione sint prædita. STOICI & EPICVREI animam iis derogant: quòd animata alia appetant, concupiscentiaq; incitentur, alia etiam ratione vtantur: plantæ au-
C tem fortuitò natæ sint, non animæ effectione. EMPEDOCLES primo inter animalia loco arbores è terra enatas ait, antequam Sol circumuolueretur, noxq; à die discerneretur, & ob concinnitatem temperamenti sexus masculi ac feminei rationem continuisse. incrementum eis obtigisse à caloris terræ inclusi distributione. itaq; terræ esse partes, sicut fetus in vtero matricis sunt partes. Semina, excrementa esse terræ & ignis abundantium. & quæ humoris satis non habeant, earum sub æstatẽ defluere folia exsuccatarum: plerasque durare, vt laurum, oleam, palmam. Discrimina succorum esse ob diuersitatem partium & causarum varieta-
D tem, maximè nutrimentum: vt in vitibus. non enim harum differentiæ vinum vino præstantius efficiunt, sed soli, quo aluntur, diuersitas.

*De nutritione & incremento.*
*Cap. XXVII.*

EMPEDOCLES animalia nutriri subsidente eo quod iis est natura accommodatum: crescere ob caloris præsentiam: decrescere & tabescere vtriusque defectu. nostræ ætatis homines priscis comparatos, infantium instar esse.

*Vnde appetitus animalia, vnde voluptas incessat.*
*Cap. XXIIX.*

E Appetitum EMPEDOCLES animalibus obtingere defectu elementorum quibus conficiuntur: voluptates autem ex humiditate, & periculorum similiumq; motus: inter turbationes autem & * *

*Febris vt fiat, & an ea sit affectio alius affectionis appendix. Cap. XXIX.*

ERASISTRATVS febrim sic definit. Febris motio est sanguinis illapsi in pulmonis vasa, non proficiscẽs à nostra voluntate. sicut enim mare nemine commouente quiescit, vento autem cõtra naturam incidente violento totum exagitatur, inq; circulos torquetur: sic & in corpore vbi com-
F motus fuerit sanguis, incidit in vasa spiritui destinata, ibique excandescens calorem toti corpori adfert. placet autem ei febrim morbi esse appendicem. DIOCLES inquit: Quæ videntur, conspectui nobis exhibent ea quæ in obscuro sunt. Hoc autem apparet, febrim vulneribus, ardentibus abscessibus, & bubonibus comitari.

### *De sanitate, morbo, senectute. Cap. XXX.*

ALCMÆO sentit, causam bonæ valetudinis cõtinentẽ esse æquabilitatẽ facultatis humidi, calidi, sicci, frigidi, amari, dulcis, ac reliquarũ qualitatũ. contrà si qua harum qualitatũ sola præualeat cæteris, morbũ gigni: verbi gratia, si nimiũ possit calor aut frigus, aut reliquorum aliquid deficiat vel abundet: vt cum sanguinis aut cerebri nõ est satis. ideoq; sanitatẽ esse temperiem qualitatum cõcinnam, hoc est certa inuicem proportione inuicem respondentium. DIOCLES plerosq; morborũ existere ait ob inæqualitatẽ elementorum corporis, eiusq; cõstitutionem. ERASISTRATVS morbos ob multitudinem alimenti, cruditatem, & corruptionem existere: victus ratione moderatam & sufficientem corpori, esse sanitatem. STOICI vno ore dicunt senectutem accidere ob caloris defectũ. quibus enim plus est caloris, ii senectuti morã longiorem producunt. ASCLEPIADES ait Æthiopes celeriùs senescere, anno scilicet xxx: idq; propterea, q corũ corpora nimio Solis æstu exurãtur. In Britannia cõtrà senium anno cxx inchoari: q corpora ob frigiditatem istarũ regionum igneam in sese contineãt naturã. Et corpora Æthiopum rariora esse, q relaxentur calore Solis. in septentrionalib. regionibus corpora dẽsiora, ideoq; etiã viuaciora.

A Περὶ ὑγείας, καὶ νόσου, καὶ γήρως. λ'.

ΑΛΚΜΑΙΩΝ, τῆς μὲν ὑγείας εἶναι συνεκτικὴν, ἰσονομίαν τῶν δυνάμεων, ὑγροῦ, θερμοῦ, ξηροῦ, ψυχροῦ, πικροῦ, γλυκέος καὶ τῶν λοιπῶν· τὴν δ' ἐν αὐτοῖς μοναρχίαν, νόσου ποιητικήν. φθοροποιὸν γὰρ ἑκατέρου μοναρχία, καὶ νόσων αἴτια, ὡς μὲν ὑφ' ἧς, ὑπερβολὴ θερμότητος ἢ ψυχρότητος· ὡς δὲ ἐξ ἧς, διὰ πλῆθος ἢ ἔνδειαν· ὡς δ' ἐν οἷς, αἷμα ἐνδέειν, ἢ ἐγκέφαλος. τὴν δ' ὑγείαν σύμμετρον τῶν ποιῶν τὴν κρᾶσιν. Διοκλῆς δὲ, πλείστας τῶν νόσων δι' ἀνωμαλίαν τῶν ἐν σώματι στοιχείων καὶ τοῦ καταστήματος. Ἐρασίστρατος, τὰς νόσους

B διὰ πλῆθος τροφῆς καὶ ἀπεψίας καὶ φθορᾶς· τὴν δὲ εὐταξίαν καὶ αὐτάρκειαν, εἶναι ὑγείαν. οἱ Στωϊκοὶ, συμφώνως, τὸ γῆρας γεννᾶσθαι διὰ τὴν τοῦ θερμοῦ ἔλλειψιν. οἱ γὰρ αὐτοὶ πλέον ἔχοντες τὸ θερμὸν, ἐπὶ πλεῖον γηράσιν. Ἀσκληπιάδης Αἰθίοπάς φησι ταχέως γηράσκειν, ἔτει τριακοστῷ, διὰ τὸ ὑπερθερμαίνεσθαι τὰ σώματα ἀπὸ τοῦ ἡλίου διαφλεχθέντας. ἐν Βρετανίᾳ ἑκατὸν εἴκοσιν ἐτῶν γηρᾶν διὰ τὸ κατεψῦχθαι μὲν τοὺς τόπους, ἐν ἑαυτοῖς δὲ στέγειν τὸ πυρῶδες. τὰ μὲν γὰρ εἰσιν ἀραιότερα τῶν Αἰθιόπων σώματα διὰ τὸ ἀναχαλᾶσθαι ὑπὸ τοῦ ἡλίου. τὰ δ' ἀπὸ τῶν ἄρκτων, πυκνὰ,

C διὰ τοῦτο οὖν καὶ πολυχρόνια.

# PLVTARCHI

## Quæstiones naturales.

QVID causæ est, quòd arbores aqua marina non aluntur? An eadem est, ob quam terrestria animalia non alit marina aqua? nam Plato, Anaxagoras & Democritus, putãt, plantas animalia esse terrestria. Non enim quia aqua marina alimento est vt piscibus, ita etiam stirpibus marinis: sic etiam terrestres plantas animaliaq; nutriet. cùm neque penetrare possit ob crassiciem suã radices, neq; sursum efferri ob sui grauitatẽ. Grauem esse aquam marinã, ac terrestrem, & alia multa demonstrãt, & q facilius sustinet naues, & natatores. Aut quia siccitas maximè officit arboribus: vim a. siccandi habet aqua marina. quæ causa est quod aduersus putredinem sales valent: & eorũ qui in mari lauãt corpora statim siccam habẽt asperamq; superficiẽ? Vel quod pinguedo iis quorum stirpes terra continentur est inimica, & inuncta perdit. Multum a. pinguedinis adest marinæ aquæ: adeo vt etiam vna exardescat, soleamusq; hortari, ne in flammã ea iniciatur? Aut q aqua marina potui inepta & amara est facta, vt Aristoteles ait, admixtione terræ adustæ. nam & lixiuium fit dulci aqua in cinerẽ incidente. dissolutio autem eiicit, corrumpitq; id, quod bonũ erat & potabile, sicut in nobis febres humorem in bilem cõuertunt. Quæ a. in rubro mari narrant syluestria & plantas germinare, ea fructũ nullum ferunt, aluntur autem à fluuiis multum cœni ingerẽtibus. itaq; etiã non procul à terra, sed ponè eã nascũtur.

Cur à pluuiis aquis potiùs q̃ affluentibus arbores & semina adsolẽt nutriri? An quia, vt Laito visum, imbres terram suo ictu diuellentes, meatus efficiunt, per quos aqua faciliùs ad radicem penetret? An hoc verum non est, sed ignorauit Laitus

# ΠΛΟΥΤΑΡΧΟΥ

## Αἴτιαι φυσικαί.

ΔΙΑ τί τὸ θαλάττιον ὕδωρ οὐ τρέφει τὰ δένδρα; πότερον δι' ἣν αἰτίαν οὐδὲ τῶν ζώων τὰ χερσαῖα; ζῷον γὰρ ἔγγειον τὸ φυτὸν εἶναι, οἱ περὶ Πλάτωνα καὶ

D Ἀναξαγόραν καὶ Δημόκριτον οἴονται. οὐ γὰρ διότι τοῖς ἐναλίοις φυτοῖς τρόφιμόν ἐστι καὶ πότιμον, ὥσπερ τοῖς ἰχθύσιν, ἤδη καὶ τὰ ἐν τῇ χέρσῳ φυτά τε καὶ δένδρα θρέψει. οὔτε γὰρ ἐνδύεται ταῖς ῥίζαις, ὑπὸ πάχους, οὔτε ἀναφέρεται, ὑπὸ τοῦ βάρους. ὅτι δ' ἐμβριθές ἐστι καὶ γεῶδες, ἄλλοις τε πολλοῖς ἀποδείκνυται, καὶ τῷ μᾶλλον ἀνέχειν καὶ ὑπερείδειν τὰ πλοῖα καὶ τοὺς κολυμβῶντας. ἢ μάλιστα μὲν βλάπτεται ξηρότητι τὰ δένδρα, ξηραντικὸν δὲ τὸ τῆς θαλάσσης ὕδωρ; ὅθεν πρός γε τὰς σήψεις οἱ ἅλες βοηθοῦσι· καὶ σώματα τῶν λουσαμένων ἐν θαλάττῃ ξηρὰν εὐθὺς ἴσχει καὶ τραχεῖαν τὴν ἐπιφάνειαν. ἢ ὅτι μὲν ἔλαιον τοῖς φυ-

E τοῖς πολέμιον, καὶ φθείρει τὰ προσαλειφόμενα; μετέχει δὲ πολλῆς ἡ θάλαττα λιπαρότητος. διὸ συνεξάπτει, καὶ παραινοῦμεν εἰς τὰς φλόγας, μὴ ἐμβάλλειν θαλάττιον ὕδωρ. ἢ γέγονεν ἄποτον καὶ πικρὸν τὸ ὕδωρ (ὡς Ἀριστοτέλης φησὶν) ἀναμίξει κατακεκαυμένης γῆς. καὶ γὰρ ἡ κονία γίνεται γλυκέος ὕδατος εἰς τέφραν ἐμπεσόντος, ἡ δὲ διάλυσις ἐξίστησι, καὶ φθείρει τὸ χρηστὸν καὶ πότιμον, ὡς ἐν ἡμῖν οἱ πυρετοὶ τὸ ὑγρὸν εἰς χολὴν τρέπουσιν. ἃ δὲ ἱστοροῦσιν, ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ βλαστάνειν ὑλήματα καὶ φυτὰ, καρπὸν μὲν οὐδένα φέρει, τρέφεται δὲ τοῖς ποταμοῖς, πολλὴν ἐμβαλοῦσιν ἰλύν· ὅθεν οὐ πόρσω τῆς γῆς ἀλλὰ πλησίον ἔχει τὴν φύσιν.

F ΔΙΑ τί μᾶλλον ὑπὸ τῶν ὑετίων ἢ τῶν ἐπιρρύτων ὑδάτων τὰ δένδρα καὶ τὰ σπέρματα πέφυκε τρέφεσθαι; πότερον (ὡς Λαῖτος ἔλεγε) τῇ πληγῇ τὰ ὄμβρια διϊστάντα τὴν γῆν πόρους ποιεῖ, καὶ διαδύεται μᾶλλον εἰς τὴν ῥίζαν; ἢ τοῦτο μὲν οὐκ ἀληθὲς, ἀλλὰ ἔλαθε τὸν Λαῖτον